GRAMMATIKĪS BIBLION PRŌTON. ĪTOI TÒ PERÌ TECHNOLOGÍAS KAÌ...

...rafi Gregorio
...rio della Grammatica

Cidonia Tompra

ΓΡΑΜΜΑΤΙΚΗΣ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ἫΤΟΙ

Τὸ περὶ Τεχνολογίας καὶ Ὀρθογραφίας
τῶν ὀκτὼ τοῦ Λόγου Μερῶν.

Φιλοπονηθὲν παρὰ τοῦ σοφολογιωτάτου Διδασκάλου
Κυρίου Γρηγορίου Σαράφη Κυδωνιέως

χάριν τῆς Νεολαίας τῆς αὐτοῦ Πατρίδος καὶ τῶν παρ' αὐ-
τῷ παιδείας ἕνεκα φοιτώντων ἀλλοδαπῶν νέων.

αωκ'. ΕΝ ΚΥΔΩΝΙΑΙΣ. 1820

Ἐν τῇ Τυπογραφίᾳ τῆς Σχολῆς, παρὰ Κωνςαντίνου Τόμπρα
Κυδωνιέως.

Ἃ δ' ἂν μάθοι τις, ταῦτα σώζεσθαι φιλεῖ
Πρὸς γῆρας· οὕτω παῖδας εὖ παιδεύετε.

(Εὐριπίδ. Ἱκέτιδ. στίχ. 916-917.)

ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.

ΟΥδὲν τοσοῦτον δοκεῖ τολμηρὸν, ὅσον ἡ τῶν ἀρχαίων καινοτομία· ἡ γὰρ ἀρχαιότης τῶν πραγμάτων, καὶ ἡ πολυχρόνιος χρῆσις αὐτῶν καθιςῶσιν αὐτὰ σεβαςὰ καὶ λίαν ἀνέπαφα. Ταύτῃ τοι καὶ ὅσοι ποτὲ τῇ τῶν ἀρχαίων καινοτομίᾳ ἐπεχείρησαν, ἔγκλημα οὐ τῆς τυχούσης θρασύτητος σὺν κινδύνῳ μεγάλῳ ἔφυγον, ὡς μαρτυροῦσι τὰ παρὰ πολλῶν ἱςορούμενα.

Ταῦτα τοίνυν κἀγὼ ἀναλογιζόμενος ἀπεδειλίων καινοτομῆσαι τὰ περὶ τὴν τῆς Γραμματικῆς μέθοδον· καί τοι ἐδόκει μοι, ὅτι οὐ καλῶς ἔχει πρὸς τὴν τῶν Νέων ταχεῖάν τε καὶ ῥᾳδίαν ἐπίδοσιν ἡ ἀρχαία ἐκείνη μέθοδος. Ἀλλ' ἐνθυμηθεὶς, ὅτι ἡ καινοτομία γενήσεται οὐ περὶ μεγαλα τινὰ, ἀλλὰ περὶ μέθοδον τέχνης, ἥ τις καινοτομουμένη ἐπὶ τὸ βέλτιον μᾶλλον ὠφελεῖ, ἢ ἐπὶ τὸ ἀρχαῖον μένουσα· διὰ τοῦτο εἰπὼν ἐν ἐμαυτῷ τὸ Ὁμηρικὸν ἐκεῖνο·

» Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός; (Ιλ. Χ. 385.)

ἐπιχειρῆσαι τῇ τοιαύτῃ καινοτομίᾳ τετόλμηκα, εὖ εἰδὼς, ὅτι συγγνώμης παρὰ τῶν σεβαςῶν μοι Ὁμογενῶν πάντως ἀ-

ξιωθήσομαι. Καὶ γὰρ ὥς πέρ ἐςι πρέπον τοῖς μᾶλλον δυνατοῖς ἐπιχειρεῖν ταῖς μεγάλαις καὶ ὑψηλαῖς, οὕτως οὐκ ἔςιν ἄπρεπον οὐδὲ τοῖς ἧττον δυνατοῖς ἐπιχειρεῖν ταῖς μικραῖς καὶ ταπειναῖς τῶν ὑποθέσεων· οὕτω γὰρ καὶ τὸ ἓν κοινωνικὸν σῶμα καταρτίζεται, καὶ ἕκαςον τῶν μελῶν αὐτοῦ ἐνεργὸν ἀποκαθίςαται κατὰ τὴν ἑαυτοῦ δύναμιν· ὅπερ καὶ Θεῷ φίλον ἠξίωται, καὶ τῆς τοῦ Θεοῦ βοηθείας ἀξιωθήσεται· εἰ γὰρ καὶ περὶ ἀεικέος λοιγοῦ εἴρηται

» Εἴ που τις καὶ ἔμοι γε θεῶν ἐπιτάῤῥοθός ἐςι,, (Ἰλ. Υ. 452.).

πολλῷ μᾶλλον περὶ ἐπωφελοῦς μεθόδου δίκαιον ῥηθῆναι· πάντως δὴ καὶ ἔμοι γε Θεὸς ἐπιτάῤῥοθός ἐςι.

Τοιγαροῦν ἐν μὲν τῷ Α. Βιβλίῳ τῆς Γραμματικῆς μετέβαλον τὴν τάξιν τῶν Ὀκτὼ Μερῶν τοῦ Λόγου, προτάξας τὰς Προθέσεις, εἶτα ἐπαγαγὼν τοὺς Συνδέσμους, ἀκολούθως τὰ Ἐπιῤῥήματα, ἑπομένως τὰ Ἄρθρα, τὰς Ἀντωνυμίας, τὸ Ὄνομα, τὸ Ῥῆμα, τὴν Μετοχήν.

Ταύτῃ δὲ τῇ τάξει ἐχρησάμην ὡς ἁπλουςέρᾳ, καὶ τοῖς πρωτοπείροις τῶν Νέων ὡς πρὸς τὴν ἐπίγνωσιν καὶ ψιλὴν διάκρισιν τῶν Ὀκτὼ Μερῶν τοῦ Λόγου ὠφελιμωτέρᾳ· τὰ γὰρ ἀμετάβλητα καὶ λίαν ὡρισμένα τε καὶ ἁπλούςατα τῶν τοῦ Λόγου Μερῶν εἰσιν ὁμολογουμένως αἱ Προθέσεις, μετὰ δὲ τὰς Προθέσεις οἱ Σύνδεσμοι, καὶ μετ᾽ αὐτοὺς τὰ Ἐπιῤῥήματα ὡς ἄκλιτα πάντῃ καὶ ἀμετάβλητα. Ἐκ δὲ τῶν κλιτῶν καὶ μεταβλητῶν εἰσιν ἁπλούςερα τὰ Ἄρθρα, μετὰ δὲ

ταῦτα αἱ Ἀντωνυμίαι: ἐν οἷς προγυμνασθέντες οἱ πρωτόπειροι, ῥαδίως ἐπιγινώσκειν δύνανται καὶ τὰ Ὀνόματα. ταῦτα δὲ πρῶτον μαθόντων, καὶ γυμνασθέντων διὰ τοῦ γράφειν καὶ ἀποσοματίζειν αὐτὰ, λείπονται μόνα τὰ Ῥήματα, ὧν ἡ ἐπίγνωσις διὰ μικρᾶς παρατηρήσεως προσγενήσεται· καὶ γὰρ πᾶν Μέρος Λόγου, τὸ μήτε Πρόθεσις ὂν, μήτε Σύνδεσμος, μήτε Ἐπίῤῥημα, μήτε Ἄρθρον, μήτε Ἀντωνυμία, μήτε Ὄνομα, λείπεται εἶναι Ῥῆμα πάντως γε· ἡ γὰρ Μετοχὴ ὁμοία ἐςὶ τῷ Ὀνόματι.

Οὕτως οὖν δι᾽ ὀλίγου χρόνου καὶ κόπου δυνατόν ἐςι τοῖς πρωτοπείροις διακρίνειν τὰ Ὀκτὼ Μέρη τοῦ Λόγου· καθὼς καὶ ἡ πεῖρα μαρτυρεῖ, καὶ ὁ λόγος πείθει, καὶ ἡ φύσις τῶν πραγμάτων διδάσκει· τὰ γὰρ ἁπλούςερα καὶ εὐληπτότερά εἰσι· τὰ δ᾽ εὐληπτότερα, πάντως καὶ ὠφελιμώτερα· διὰ ταῦτ᾽ ἄρα καὶ προτιμητέα.

Τοὺς δὲ Τύπους τῶν χρόνων τοῦ Ῥήματος παρέλαβον οὐχ ἅπαντας, ἀλλὰ μόνους τοὺς ἓξ: οἷον τὸν τοῦ Ἐνεςῶτος, Παρατατικοῦ, Παρακειμένου, Ὑπερσυντελικοῦ, Μέλλοντος καὶ Ἀορίςου, καταλιπὼν τοὺς καλουμένους Β΄. Ἀορίςους καὶ Παρακειμένους καὶ Ὑπερσυντελικοὺς καὶ Μέλλοντας· οἱ γὰρ λεγόμενοι Β΄. Ἀόριςοι, κατὰ μὲν τὸν σχηματισμόν εἰσι κυρίως Παρατατικοὶ, κατὰ δὲ τὴν σημασίαν λαμβάνονται ἀντὶ Ἀορίςων, ὡς καὶ τῷ μικρὸν ἐπιςήσαντι πρόδηλον: οἷον ἔλαβον, ἔτυπον, ἔγνων, ἔφην, εἶδον, εἷλον, εἶπον, ἦλθον, ἤνεγκον, κ. τ. λ.

Δεῖ οὖν τῷ Γραμματικῷ τεχνολογοῦντι σχηματίζειν αὐτοὺς ὡς Παρατατικοὺς ἐπὶ τοῦ ἔγραφον, ἢ ἐπ᾽ ἄλλου τινὸς Τύπου τῶν Παρατατικῶν, ἀλλὰ μὴ βιαζόμενον σχηματίζειν αὐτοὺς ἐπί τινων ἰδιωτέρων τύπων, μάτην παρέχεσθαι τοῖς πρωτοπείροις πράγματα· οὐδὲ γὰρ ἂν εἴποιεν τὸ τοῦ Ὁμήρου.

„ Ὡς γὰρ ἐπεκλώσαντο Θεοὶ δειλοῖσι βροτοῖσι,
Ζώειν ἀχνυμένους.......... (Ἰλιάδ, Ω. 525. 526.)

Ἀλλὰ δεῖ τοῖς διδασκάλοις ἀπαλλάττειν τοὺς μαθητὰς τοῦ ἄχους, ὅσον οἷόν τε, διδάσκουσι δι᾽ ὀλίγων τὰς τέχνας· τὸ γὰρ δι᾽ ὀλίγου γινόμενον, μάτην διὰ πολλῶν γίγνεσθαι πάλαι εἴρηται.

Ὡσαύτως δὲ καὶ οἱ δεύτεροι ἢ μέσοι Παρακείμενοι κατὰ τὸν σχηματισμόν εἰσι κυρίως Παρακείμενοι, κατὰ τοῦτο μόνον διαφέροντες τοῦ κοινοῦ Παρακειμένου, καθότι φυλάττουσι τὸ ςοιχεῖον τοῦ θέματος ἀμετάβλητον, καὶ ἐνίοτε μεταβάλλουσι τὴν παραλήγουσαν: οἷον οἶδα, εἴωθα, λέλογα, τέτυπα. κ. τ. λ.

Ὥς περ οὖν τοὺς Ἀορίςους ἔδωκα, ἔθηκα, ἔφανα, ἔφηνα, εἶπα, ἤνεγκα οὐ λέγομεν Β΄. Ἀορίςους, ἀλλ᾽ ἁπλῶς Ἀορίςους, οὐδὲ σχηματίζομεν αὐτοὺς ἐπὶ Τύπου ἰδιαιτέρου, ἀλλ᾽ ἐπὶ τοῦ Τύπου τοῦ ἔγραψα, ἢ ἐπ᾽ ἄλλου τινὸς Τύπου τῶν Ἀορίςων· καίτοι διαφέροντας τῶν κοινῶν Ἀορίςων κατὰ τὸ ληκτικὸν σύμφωνον, καὶ ἐνίοτε κατὰ τὴν παραλήγουσαν· οὕτως οὐκ ἔχει λόγον καλεῖν δευτέρους, ἢ μέσους Παρακειμένους τοὺς

διαφέροντας μόνον κατὰ τὸ ληκτικὸν σύμφωνον, καὶ ἐνίοτε κατὰ τὴν παραλήγουσαν, οὐδὲ σχηματίζειν ἐπ' ἄλλου τινος ἰδιαιτέρου Τύπου, ἀλλ' ἐπεὶ τοῦ Τύπου τῶν Παρακειμένων· καὶ γὰρ οὗτός ἐςιν ὁ κυρίως σκοπὸς τῷ Γραμματικῷ τεχνολογοῦντι: ὁ σχηματισμὸς, ἀλλ' οὐχ ἡ σημασία τοῦ Ῥήματος.

Οἱ δεύτεροι Μέλλοντες, ὅτι εἰσὶν Ἐνεςῶτες περισπώμενοι ἐπὶ σημασίας Μελλόντων λαμβανόμενοι, τί χρὴ καὶ λέγειν; οἷον, κρινῶ, κρινεῖς, κρινεῖ· μενῶ, μενεῖς, μενεῖ· σπερῶ, ψαλῶ, κ. τ. λ.

Ὥςπερ οὖν οἱ Βαρύτονοι Ἐνεςῶτες: ἔδονται, πίονται, φάγονται, ἀντὶ Μελλόντων λαμβάνονται, οὕτω καὶ οἱ Περισπώμενοι.

Ἐν δὲ τῷ Β'. Βιβλίῳ τῷ περὶ Συντάξεως προτάξας τινὰ περὶ Ἰδεῶν, ὡς οἷόν τε, ἁπλῶς καὶ συντόμως καὶ τοῖς πρωτοπείροις ἀνάλογα, μετὰ ταῦτα τῆς κυρίας ὑποθέσεως ἄρχομαι· καὶ γὰρ δοκεῖ μοι, ὅτι πρὸς τὴν τῶν Οὐσιαςικῶν καὶ Ἐπιθέτων, Κυρίων τε καὶ Προσηγορικῶν, Γενικῶν καὶ Εἰδικῶν, Καθολικωτέρων τε καὶ Μερικωτέρων ὀνομάτων κατάληψιν, ἀναγκαία ἡ τοιαύτη μεταφυσικὴ Ἰδεολογία· ἡ γὰρ οὐσία καὶ δύναμις ἑκάςης τῶν λέξεων οὐδὲν ἄλλο ἐςιν, οἶμαι, ὅτι μὴ ἑκάςη ἁπλῆ Ἰδέα, ἢ ἕκαςον κεφάλαιον τῶν συνθέτων Ἰδεῶν τῶν καθολικωτέρων, ἢ μερικωτέρων.

Πρὸς δὲ τούτοις παρενέσπειρα, ὅπου ἔδει, καίτινα περὶ Προτάσεων καὶ Συλλογισμοῦ, ὅσα ἔδοξέ μοι ἀναγκαῖα εἰς κατάληψιν μάλιςα τῶν συνδέσμων.

Ἐπεὶ δὲ τὰ κλιτὰ μέρη τοῦ λόγου ἀλλήλοις συντάσσονται ἤτοι περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ προσώπου, ἢ πράγματος: τουτ᾽ ἔςιν ἀμεταβάτως, ἢ μεταβαίνοντα ἐκ προσώπου εἰς πρόσωπον, ἢ ἐκ πράγματος εἰς πρᾶγμα: τοῦτ᾽ ἔςι μεταβατικῶς, ἢ ἐλλείποντα κατάτι, ἢ μετὰ τοῦ ἐλλείποντος συντασσόμενα, καὶ τὴν φράσιν συμπληροῦντα· ταύτῃ τοι ἐκάλεσα τὰ εἴδη τῆς Συντάξεως Ἀμετάβατον, Μεταβατικὴν, Ἐλλειπτικὴν, Συμπληρωτικήν.

Ταῦτα δὴ ἐκαινοτόμησα σκοπὸν ἔχων τὴν τῶν νέων ῥᾳδίαν τε καὶ ταχεῖαν ἐπίδοσιν· Ὅθεν εἰ μὲν ἐπέτυχον τοῦ σκοποῦ, δόξα τῷ Θεῷ τῷ ἱκανώσαντί με εἰς τὴν τοῦ παρόντος σκοποῦ ἐπίτευξιν· εἰ δ᾽ ἀπέτυχον, ἐγὼ μὲν ἂν εἴποιμι τὸ τοῦ Ποιητοῦ.

» Ἀασάμην, οὐδ᾽ αὐτὸς ἀναίνομαι.............. (Ἰλιάδ. Ι. 116)

Ὑμεῖς δὲ, ὦ σεβαςοί μοι Ὁμογενεῖς· σύγγνωτέ μοι τῷ, ὡς οἷόν τέ μοι, τὰ τοιαῦτα φιλοπονήσαντι.

Ἔῤῥωσθε.

αωκ΄. κατὰ μῆνα Μάρτιον.

Γ. Σ. Κ.

ΓΡΑΜΜΑΤΙΚΗΣ

ΤΟ Α′

Περὶ Γραμμάτων καὶ Προσῳδίας.

ΤΑ σημεῖα, δι' ὧν γράφεται ὁ προφορικὸς λόγος ὀνομάζονται Γράμματα, καί εἰσιν εἰκοσιτέσσαρα: α, β, γ, δ, ε, ζ, η, θ, ι, κ, λ, μ, ν, ξ, ο, π, ρ, σ, τ, υ, φ, χ, ψ, ω.

Ἐκ τούτων φωνήεντα μέν εἰσιν ἑπτὰ: α, ε, η, ι, ο, υ, ω(α).

Σύμφωνα δὲ δεκαεπτὰ: β, γ, δ, ζ, θ, κ, λ, μ, ν, ξ, π, ρ, σ, τ, φ, χ, ψ.

Ἐκ τῶν φωνηέντων βραχέα εἰσὶ δύο: ε, ο.

Μακρὰ δύο: η, ω.

Δίχρονα τρία: α, ι, υ.

Καὶ ἀπὸ μὲν τῶν ἑπτὰ φωνηέντων γίνονται δέκα δίφθογγοι. ἓξ κύριαι αι, αυ, ει, ευ, οι, ου.

καὶ τέσσαρες καταχρηστικαὶ ᾳ, ῃ, ῳ, υι (β).

Ἀπὸ δὲ τῶν συμφώνων, ἡμίφωνα μέν εἰσιν ὀκτὼ: ζ, ξ, ψ, λ, μ, ν, ρ, σ.

Ἐξ ὧν διπλᾶ εἰσι τρία : ζ, ξ, ψ.
ἀμετάβολα τέσσαρα : λ, μ, ν, ρ.
Καὶ τὸ μοναδικὸν σ.
Ἄφωνα δέ εἰσιν ἐννέα : β, γ, δ, κ, π, τ, θ, φ, χ.
ἐξ ὧν ψιλὰ μέν εἰσι τρία : κ, π, τ.
μέσα δὲ τρία : β, γ, δ.
δασέα τρία : χ, φ, θ (γ).

Ἐκ τῶν φωνηέντων καὶ διφθόγγων ἢ μόνων προφερομένων : οἷον οἰ-έ, ἢ μετὰ τῶν συμφώνων συναπτομένων : οἷον σθω, γίνονται αἱ συλλαβαὶ (δ), ἐκ δὲ τῶν συλλαβῶν αἱ λέξεις, οἷον, οἰέσθω, καὶ ἐκ τῶν λέξεων ὁ λόγος · ὅστις ὀνομάζεται προφορικὸς, ὅταν προφέρηται, καὶ γραπτὸς ὅταν γράφηται : οἷον. « Καὶ μηδεὶς οἰέσθω με δυσκόλως διακεῖσθαι πρὸς τοὺς ταύτην ἔχοντας τὴν ἡλικίαν ».

Τὰ μέρη τοῦ λόγου εἰσὶν ὀκτώ · Ὄνομα, Ῥῆμα, Μετοχὴ, Ἄρθρον, Ἀντωνυμία, Πρόθεσις, Ἐπίῤῥημα, Σύνδεσμος :

Ἐκ τούτων κλιτὰ μέν εἰσι πέντε : Ὄνομα, Ῥῆμα, Μετοχὴ, Ἄρθρον, Ἀντωνυμία · ἄκλιτα δὲ τρία : Ἐπίῤῥημα, Σύνδεσμος, Πρόθεσις :

Τὰ σημεῖα, πρὸς ἃ ἕκαστον τῶν τοῦ λόγου μερῶν ᾄδεται: ἤτοι ἐκφωνεῖται, ὀνομάζονται Προσῳδίαι, καί εἰσι δέκα · Ὀξεῖα (´), Βαρεῖα (`), Περισπωμένη, (῀), Μακρὰ (-), Βραχεῖα (υ), Δασεῖα (῾), Ψιλὴ (᾿), Ἀπόστροφος (᾿), Ὑφὲν (‿) καὶ Ὑποδιαστολὴ (,).

Ἐκ τούτων εἰσὶ τόνοι τρεῖς : Ὀξεῖα, Βαρεῖα, περισπωμένη (ε).

Χρόνοι δύο : Μακρὰ, Βραχεῖα.
Πνεύματα δύο : Δασεῖα, Ψιλή.
Πάθη τρία : Ἀπόστροφος, Ὑφὲν, Ὑποδιαστολή.

Ἡ ὀξεῖα τίθεται ἢ εἰς τὴν λήγουσαν συλλαβὴν (ζ), καὶ ὀνομάζεται ἡ λέξις ὀξύτονος, ἢ εἰς τὴν παραλήγουσαν, καὶ ὀνομάζεται παροξύτονος καὶ βαρύτονος, ἢ εἰς τὴν προπαραλήγουσαν, καὶ ὀνομάζεται προπαροξύτονος ἢ βαρύτονος.

Ἡ βαρεῖα τίθεται ἐπὶ μόνης τῆς ληγούσης, εἰ μὴ κεῖται ἡ λέξις ἐν τῷ τέλει τοῦ λόγου, ἀλλ᾽ ἐν συνεπείᾳ· εἰ γὰρ κεῖται, τότε τίθεται ἡ ὀξεῖα· ἐπὶ δὲ τῶν λοιπῶν συλλαβῶν τῶν μηδένα τόνον ἐπιδεχομένων ἐπινοεῖται ἡ βαρεῖα· ὅθεν καὶ συλλαβικὸς τόνος ὀνομάζεται.

Ἡ περισπωμένη ἡ ἐξ ὀξείας καὶ βαρείας συγκειμένη (^) τίθεται ἢ ἐπὶ τῆς ληγούσης καὶ ὀνομάζεται ἡ λέξις περισπωμένη, ἢ ἐπὶ τῆς παραληγούσης, καὶ ὀνομάζεται ἡ λέξις προπερισπωμένη καὶ βαρύτονος·

Τὰ σημεῖα, καθ᾽ ἃ κόπτεται ὁ λόγος, ὀνομάζονται στιγμαί, καί εἰσι τρεῖς τελεία (.), ἡμιτελὴς ἢ μέση (·), ἀτελὴς ἢ ὑποστιγμή (,).

(α) 1. Τὸ ε καὶ ο φύσει βραχέα εἰσιν, ὁμοίως καὶ τὰ δίχρονα ἐν πολλαῖς λέξεσι.

2. Τὸ η καὶ ω, καὶ ἅπασαι αἱ δίφθογγοι φύσει μακραί εἰσιν, ὁμοίως καὶ τὰ δίχρονα ἔν τισι λέξεσι, πλὴν τῆς αι καὶ οι ἐν τέλει λέξεως, ἐξαιρουμένων τῶν συνῃρημένων καὶ τῶν εὐκτικῶν ῥημάτων καὶ ἐπιῤῥημάτων, πλὴν τοῦ πάλαι.

3 Τὸ ε καὶ ο καὶ τὰ βραχυνόμενα δίχρονα προκείμενα δύο συμφώνων, ἢ ἑνὸς διπλοῦ, γίνονται θέσει μακρά. Εἰ δὲ τὸ πρῶτόν ἐστιν ἄφωνον, καὶ τὸ δεύτερον ἀμετάβολον ἐν συλλήψει, τότε γίνονται κοινά, τουτέστιν ἢ ἀντὶ μακρῶν, ἢ ἀντὶ βραχέων λαμβάνονται κατὰ τὴν χρείαν.

4. Τὰ μὲν φωνήεντα λέγονται τελικά, ὡς ἐν τῷ τέλει τῶν λέξεων εὑρισκόμενα. τὰ δὲ ν, ρ, σ, ξ, ψ, τελικὰ σύμφωνα, ὡς μόνα ταῦτα ἐκ τῶν συμφώνων καὶ ἐν τῷ τέλει τῶν λέξεων κείμενα, πλὴν τοῦ οὐκ, οὐχ, ἐκ.

(β) Τὸ ὑποκείμενον ἰῶτα λέγεται Ὑπογεγραμμένον καὶ μόνα τὰ, α, η, ω ὑπογράφονται.

(γ) Τὰ, κ, γ, χ, ὀνομάζονται ἀντίστοιχα· διότι ἀντ' ἀλλήλων λαμβάνονται, καὶ διαφέρουσι μόνον τῷ βαθμῷ τῆς ὀξείας, ἢ βαρείας, ἢ μέσης προφορᾶς, καὶ τῆς δασείας, ἢ ψιλῆς, ἢ μέσης προφορᾶς· ὁμοίως καὶ τὰ π, β, φ, καὶ τὰ, τ, δ, θ. Καὶ τὰ μὲν κ, γ, χ λέγονται τοῦ οὐρανίσκου, ὡς δι' αὐτοῦ καὶ τῆς γλώσσης προφερόμενα· τὰ δὲ τ, δ, θ, τῶν ὀδόντων· τὰ δὲ π, β, φ, τῶν χειλέων.

(δ) 1. Ἡ συλλαβὴ ἡ ἐκ φωνήεντος μετὰ τῶν συμφώνων, ἢ ἐκ διφθόγγου λέγεται Κυρίως Συλλαβή· ἡ δὲ ἐκ μόνου φωνήεντος λέγεται καταχρηστικῶς.

2 Ὅσα σύμφωνα συνάπτονται ἀλλήλοις καὶ εὑρίσκονται ἐν ἀρχῇ λέξεως, ταῦτα καὶ ἐν τῷ μέσῳ εὑρισκόμενα ἐν συλλήψει συλλαβίζονται τῷ δευτέρῳ φωνήεντι· διότι καὶ πᾶν σύμφωνον μεταξὺ δύο φωνηέντων κείμενον τῷ δευτέρῳ συλλαβιστέον, ἐ-γὼ, ἔ-γρα-ψα· τὰ δὲ μόνον ἐν τῷ μέσῳ τῆς λέξεως κείμενα, ἐν διαστάσει συλλαβίζονται· ἀλ-λὰ, πορ-θῶ, πορθ-μεῖον· καὶ τὰ μὲν βδ, βλ, βρ, γλ, γρ, δμ, δν, δρ, θλ, θν, θρ, κλ, κν, κρ, κτ, μν, πλ, πν, πρ, πτ, σβ, σθ, σκ, σκλ, σμ, σπ, σπλ, στ, στρ, σφ, σφρ, σχ, τλ, τμ, τρ, φθ, φλ, φρ, χθ, χλ, χν, χρ, καὶ ἐν μέσῳ τῆς λέξεως εὑρίσκονται· τὰ δὲ λοιπὰ μόνον ἐν τῷ μέσῳ.

(ε) Ταῦτα τὰ σημεῖα ἐξ ἀρχῆς μὴ ὄντα τὸ πρῶτον εἰσήχθησαν ὑπὸ Ἀριστοφάνους τοῦ Βυζαντίου τῇ 144 Ὀλυμπιάδι.

(ζ) 1. Ἡ τελευταία συλλαβὴ πάσης λέξεως ὀνομάζεται Λήγουσα· οἷον τῆς οἴεσθω ἡ σθω, ἡ παρατελευταία Παραλήγουσα, οἷον, ἡ ε, ἡ προπαρατελευταία, Προπαραλήγουσα, οἷον, ἡ οι, ἥτις καὶ Ἄρχουσα λέγεται ἐν ἀρχῇ οὖσα.

2. Πᾶσα λέξις ἀπὸ φωνήεντος ἀρχομένη ἢ ψιλοῦται ἢ δασύνεται. ἀπὸ δὲ τοῦ ρ συμφώνου μόνον δασύνεται, οἷον, Ῥῆμα.
Ἐὰν δὲ εὑρεθῶσι δύο ρρ ἐν μέσῳ λέξεως, τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται, οἷον, Ἐπίῤῥημα.



Περὶ τῶν ἀκλίτων Τοῦ Λόγου Μερῶν. Καὶ Πρῶτον
ΠΕΡῚ ΠΡΟΘΈΣΕΩΣ.

Αἱ προθέσεις εἰσι δεκαοκτὼ, ἓξ μονοσύλλαβοι, ἐν, εἰς, ἐκ, σὺν, πρὸς, πρό· καὶ δώδεκα δισύλλαβοι· ἀνὰ, κατὰ, διὰ, μετὰ, παρὰ, ἀντὶ, ἐπὶ, περὶ, ἀμφὶ, ἀπὸ, ὑπὸ, ὑπέρ(α).

(α) 1. Πᾶσα πρόθεσις ἀπὸ φωνήεντος ἀρχομένη ψιλοῦται, πλὴν τῆς ὑπὸ καὶ ὑπέρ· ὅτι πᾶσα λέξις ἀπὸ τοῦ υ ἀρχομένη δασύνεται.

2. Πᾶσα πρόθεσις βαρύνεται πλὴν τῆς ἐν, εἰς, ἐξ, ἥτις καὶ ἐκ λέγεται ἑπομένου συμφώνου.

3. Πᾶσα πρόθεσις βραχυκαταληκτεῖ, πλὴν τῆς εἰς καὶ ἐξ.

ΠΕΡῚ ΣΥΝΔΈΣΜΟΥ (α).

Οἱ Σύνδεσμοί εἰσι Συμπλεκτικοὶ : μὲν, δὲ, τὲ, καὶ, ἀλλὰ, ἀτάρ.

Διαζευκτικοὶ : ἢ, ἤτοι.

Συναπτικοὶ : εἰ, εἴπερ, εἰδὴ, εἰδήπερ·

Παρασυναπτικοὶ : ἐπεὶ, ἐπείπερ, ἐπειδὴ, ἐπειδήπερ.

Αἰτιολογικοὶ : ἵνα, ὄφρα, ὅπως, ἕνεκα, ἕνεκεν, γὰρ, ὅτι, διότι.

Ἀποῤῥηματικοὶ : ἆρα, μῶν.

Συλλογιστικοὶ : ἄρα, ἀλλαμὴν, οὖν, τοίνυν, τοιγάρτοι, τοιγαροῦν.

Παραπληρωματικοὶ, (καταχρηστικῶς, λεγόμενοι) : δὴ, τοὶ, πὲρ, μὴν, νὺν, ῥά.

Δυνητικοὶ : ἂν.

Διστακτικοὶ : ἐὰν, ἢν.

Ἐναντιωματικοὶ : ὅμως, καίτοι, καίπερ, ἔμπης.

Μειωτικοὶ : γοῦν, γέ.

(α) Πᾶς σύνδεσμός ἐστιν ἢ ἁπλοῦς, οἷον εἰ, ἢ σύνθετος, οἷον εἴπερ ἐκ τοῦ εἰ καὶ πέρ. ὅτι καὶ πᾶν μέρος λόγου ἐστὶν ἁπλοῦν ἢ σύνθετον, ὅπερ Σχῆμα ὀνομάζεται· ὅθεν σχήματά εἰσι δύο ἁπλοῦν καὶ σύνθετον.

α. Πᾶς σύνδεσμος ἀπὸ φωνήεντος ἀρχόμενος ψιλοῦται, πλὴν τῶν αἰτιολογικῶν καὶ τοῦ ὅμως.

ΠΕΡῚ ἘΠΙῤῬΉΜΑΤΟΣ.

Τὰ Ἐπιῤῥήματά εἰσι -

Χρονικὰ: οἷον, νῦν, ἤδη, τότε, ὅτε, πηνίκα, ἡνίκα, σήμερον, αὔριον, χθὲς, πρὶν, πάλαι, ἀεὶ, αὖθις, πάλιν, εἶτα, ἔπειτα.

Τοπικὰ: ἄνω, κάτω, ἔξω, ἔσω, ἔνδον, ἐγγὺς, πόῤῥω, χαμαὶ, ἔνθα, ἐκεῖ, ἐπέκεινα, μακρὰν, πανταχοῦ.

Τροπικὰ: εὖ, καλῶς, κυνηδὸν, ὀδὰξ, πὺξ, σχεδὸν, χωρὶς, (α), ἄνευ, δίχα, πλήν.

Ποσότητος: ἅπαξ, δὶς, τρὶς, πολλάκις, ὀλιγάκις.

Ὁμοιωματικὰ: ὡς, οὕτω.

Ἀθροιςικὰ: ἅμα, ὁμοῦ, συλλήβδην, ἀθρόως, πανοικὶ, πανδημεί.

Τακτικὰ: ἑξῆς, ἐφεξῆς.

Παραθετικὰ: μᾶλλον, ἧττον, μάλιςα.

Ἐθνικὰ: Ἑλληνιςὶ, Ῥωμαϊςὶ.

Βιασμοῦ: μόλις, μόγις.

Ἐπιτατικὰ: λίαν, ἄγαν, πάνυ(β), σφόδρα.

Βεβαιωτικὰ: δήπουθεν, ὄντως, πάντως, ἦ.

Καταφατικὰ: ναί.

Ἀποφατικὰ: οὐ, οὐδαμῶς, ἥκιςα (γ).

Ἀπαγορευτικὰ: μὴ, μηδαμῶς.

Ὀμοτικὰ: νὴ, μά.

Εἰκασμοῦ: ἴσως, τάχα.

Δεικτικὰ: ἰδοὺ, ἠνί.

Εὐκτικὰ: εἴθε, ὄφελον. (δ.)

Σημειώσεις.

(α) ἐνταῦθα μὲν ἀνάγεται τὸ δυς.

(β) ἐνταῦθα δὲ τὸ αρι, ερι, βου, ζα.

(γ) Ἐνταῦθα δὲ τὸ α, νη, νω, ἅτινα πάντα Συνημμένα Μόρια καλοῦμεν· διότι οὐδέποτε εὑρίσκονται διηρημένα τῶν λέξεων, καὶ λέγονται ἢ ἐπιῤῥηματικὰ διὰ τὴν σημασίαν, ἢ προθετικὰ διὰ τὴν θέσιν.

(δ) 1. Εἰσὶ δὲ καί τινα μέρη λόγου ἄκλιτα, δι' ὧν ἢ προσκαλούμεθά τινα καὶ ὀνομάζονται κλητικά, ὦ.
Ἢ δηλοῦμεν θαυμασμὸν καὶ ὀνομάζονται Θαυμαστικά, ὦ! φεῦ! βαβαί! αἶ! Ἢ Σχετλιαστικά, ὦ! οἴ! φεῦ! ἆ! αἶ! ἰού! ἢ θειασμὸν, εὐοῖ, εὐάν. Ταῦτα πάντα πάντες σχεδὸν οἱ Γραμματικοὶ ἀνάγουσιν εἰς τὰ ἐπιῤῥήματα· ἐπεὶ δὲ διαφέρουσιν οὐσιωδῶς οὐ μόνον τῶν ἐπιῤῥημάτων, ἀλλὰ καὶ πάντων τῶν τοῦ λόγου μερῶν, διὰ τοῦτο καλείσθωσαν καταχρηστικῶς μὲν ἐπιῤῥήματα, κυρίως δὲ λόγοι Ἐπιφωνηματικοί· δι' αὐτῶν γὰρ ἐπιφωνοῦντες ἐμφαίνομεν πάθος τι τῆς ψυχῆς.

2. Τὰ ἐπιῤῥήματά εἰσιν ἢ πρωτότυπα, οἷον εὖ, ἢ παράγωγα, οἷον κυνηδὸν ἐκ τοῦ κυνός· ὅτι καὶ πᾶν μέρος λόγου ἐστὶν ἢ πρωτότυπον ἢ παράγωγον· ἔτι εἰσὶν ἢ ἁπλᾶ, οἷον εἶτα, ἢ σύνθετα, οἷον ἔπειτα, ὡς ἐκ τῆς ἐπὶ καὶ εἶτα.

3. Τὰ παράγωγα ἐπιῤῥήματα ἔχουσι πολλάκις τὸν τόνον καὶ τὸν χρόνον καὶ τὸ πνεῦμα τῶν πρωτοτύπων, ἀφ' ὧν παράγονται· ἐνίοτε μέντοι καὶ διαφέρουσι· μεταβλητικὸν γάρ ἐστιν οὗ ἡ παραγωγή.

4. Ὅσα τῶν ἐπιῤῥημάτων διφθόγγῳ λήγουσιν ἐχούσῃ τὸ υ ὑποτακτικὸν, περισπᾶται εὖ, ἀγχοῦ, ὁμοῦ· ὅτι καὶ πᾶσα δίφθογγος τελικὴ εἰς υ λήγουσα, καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται, πλὴν τοῦ ἰδοὺ, ἰοὺ, οὔ.

5. Τῶν ἀπτώτων αἱ ἐπεκτάσεις οὐ τρέπουσι τὴν ὀξεῖαν εἰς περισπωμένην, εἴθε.

6. Πάντα τὰ δίχρονα τὰ ἐν ταῖς ληγούσαις τῶν προθέσεων ἢ συνδέσμων ἢ ἐπιῤῥημάτων συστέλλονται, πλὴν τοῦ γρὺ, νῦν (ἐπιῤῥηματικῶς, νὺν δὲ συνδεσμικῶς βραχὺ), καὶ τῶν κατ' ἐπέκτασιν προσλαμβανόντων τὸ ἰῶτα, ἐνθαδὶ, καὶ τῶν εἰς αν, πλὴν τοῦ ὅταν, ἄγαν· τὸ δὲ τρὶς καὶ ἀντικρὺ εἰσὶ κοινά.

7. Τὸ δεῦρο καὶ δεῦτε ῥήματα ὄντα ἐκ τοῦ θεύσω, καταχρηστικῶς ἐπιῤῥήματα Παρακελευσματικὰ ὀνομάζονται.

Περὶ Τῶν Κλιτῶν Τοῦ Λόγου Μερῶν· Καὶ Πρῶτον
ΠΕΡῚ ἌΡΘΡΟΥ.

Εἰς τὰ ἄρθρα, καθὼς καὶ εἰς ὅλα τὰ κλιτὰ, παρατηροῦνται μεταβολαί τινες παρεπόμενα ὀνομαζόμεναι παρὰ τῶν Γραμματικῶν. Πρῶτον, ὁ, ἡ, τὸ, καὶ λέγεται Γένος. Δεύτερον, ὁ, τὼ, οἱ, καὶ λέγεται Ἀριθμός. Τρίτον, ὁ, τοῦ, τῷ, τὸν, καὶ λέγεται Πτῶσις.

Γένη εἰσὶ τρία: Ἀρσενικὸν, Θηλυκὸν, Οὐδέτερον.

Ἀριθμοὶ τρεῖς: Ἑνικὸς, Δυϊκὸς, Πληθυντικός.

Πτώσεις πέντε: Ὀνομαστικὴ, Γενικὴ, Δοτικὴ, Αἰτιατικὴ. Κλητική. (α)

	Ἄρθρα Προτακτικὰ			Ὑποτακτικά.		
	Ἀρσ.	Θηλ.	Οὐδ.	Ἀρσ.	Θηλ.	Οὐδ.
Ἑνικ Ὀνμ.	ὁ (β)	ἡ	τὸ	ὃς	ἣ	ὃ
Γεν.	τοῦ	τῆς	τοῦ	οὗ	ἧς	οὗ
Δοτ.	τῷ	τῇ	τῷ	ᾧ	ᾗ	ᾧ
Αἰτιατ.	τὸν	τὴν	τὸ	ὃν	ἣν	ὃ
Δυϊκ. ὀν. καὶ αἰτ.	τὼ	τὰ	τὼ	ὣ	ἃ	ὣ
γεν. κ. δοτ.	τοῖν	ταῖν	τοῖν	οἷν	αἷν	οἷν.
Πλ. Ὀνομ.	οἱ	αἱ	τὰ	οἳ	αἳ	ἃ
Γεν.		τῶν			ὧν	
Δοτ.	τοῖς	ταῖς	τοῖς	οἷς	αἷς	οἷς
Αἰτιατ.	τοὺς	τὰς	τὰ	οὓς	ἃς	ἃ(γ)

(α) Τὰ ἄρθρα κλητικὴν οὐκ ἔχουσι· τὸ γὰρ ὦ λέγεται ἐπίῤῥημα κλητικόν.

(β) 1 Πᾶν ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται.

2. Πᾶσα γενικὴ καὶ δοτικὴ τῶν ἄρθρων περισπᾶται.

3. Πᾶσα δοτικὴ εἰς η, α, ω λήγουσα, ὑπογράφεται.

(γ) Ταῦτά εἰσι μᾶλλον ἀντωνυμίαι, ἢ ἄρθρα· περὶ δὲ τῶν Ἀντωνυμιῶν ἤδη ἑπομένως λέγομεν.

ΠΕΡῚ ἈΝΤΩΝΥΜΊΑΣ.

Αἱ Ἀντωνυμίαι εἰσὶ Πρωτότυποι, Κτητικαὶ, Δεικτικαὶ, Ἀναφορικαὶ, Σύνθετοι. Ἔχουσαι παρεπόμενα τέσσαρα: Γένος, Ἀριθμὸν, Πτῶσιν, Πρόσωπον.

Πρωτότυποι.

	Τοῦ ά. προσώπου.	τοῦ β΄ προσώπ.	τοῦ γ΄ προσ.
Ἑνικὸς ὀνομαστ.	Ἐγὼ	σὺ	ὃς
Γεν.	ἐμοῦ καὶ μοῦ	σοῦ	οὗ
Δοτ.	ἐμοὶ καὶ μοὶ	σοὶ	οἷ
Αἰτιατ.	ἐμὲ καὶ μὲ	σὲ	ἓ
Δ. ὀν. καὶ αἰτ.	νῶϊ καὶ νὼ	σφῶϊ καὶ σφὼ	σφωὲ κ. σφὲ
γεν. κ. δοτ.	νῶϊν κ νῷν	σφῶϊν κ σφῷν	σφωΐν κ σφὶν
Πληθ. Ὀνομ.	ἡμεῖς	ὑμεῖς	σφεῖς οὐδ. σφέα
Γεν.	ἡμῶν	ὑμῶν	σφῶν
Δοτ.	ἡμῖν	ὑμῖν	σφίσι
Αἰτ.	ἡμᾶς	ὑμᾶς	σφᾶς οὐδ. σφέα.

Κτητικαί

	Ἀρσεν.	Θηλ.	Οὐδέτ.
Ἑνικὸς ὀνομαστ.	Ἐμ-ὸς	ἡ	ὸν
γεν.	οῦ	ῆς	οῦ
δοτ.	ῷ	ῇ	ῷ
αἰτ.	ὸν	ὴν	ὸν
Δυϊκ. ὀνομ. καὶ αἰτ.	ὼ	ὰ	ὼ

γεν. καὶ δοτ.	οῖν	αῖν	οῖν
Πληθ. ὀνομ.	οἱ	αἱ	ἁ
γεν.	-	ὧν	-
δοτ.	οἷς	αἷς	οἷς
αἰτ.	οὓς	ἃς	ἃ

Οὕτω κλίνονται καὶ αἱ ἑξῆς· σὸς, σὴ, σόν. ἑὸς, ἑὴ, ἑόν. Νωΐτερος, νωϊτέρα, νωΐτερον. Σφωΐτερος, σφωϊτέρα, σφωΐτερον. Ἡμέτερος, ἡμετέρα, ἡμέτερον. Ὑμέτερος, ὑμετέρα, ὑμέτερον. Σφέτερος, σφετέρα, σφέτερον.

Αὗται πᾶσαι καλοῦνται καὶ παράγωγοι· διότι ἡ μὲν ἐμὸς παράγεται ἐκ τῆς ἐμοῦ, ἡ δὲ σὸς ἐκ τῆς σοῦ, ἡ δὲ ἑὸς ἐκ τῆς οὗ, ἡ νωΐτερος ἐκ τῆς νῶϊν· ἡ σφωΐτερος ἐκ τῆς σφῶϊν· ἡ ἡμέτερος καὶ ὑμέτερος ἐκ τῆς ἡμῶν καὶ ὑμῶν· ἡ σφέτερος ἐκ τῆς σφῶν.

Δεικτικαί.			Ἀναφορικαί.		
Ἄρσεν.	Θηλ.	Οὐδ.	Ἄρσεν.	Θηλ.	Οὐδ.
Οὗτος	Αὕτη	Τοῦτο.(α)	Αὐτὸς	Αὐτὴ	Αὐτό.(β)
ἐκεῖνος	ἐκείνη	ἐκεῖνο(γ).			

Σύνθετοι, αἵπερ ὀνομαστικὰς οὐκ ἔχουσι.

	Τοῦ ά. προσώπου.	τοῦ β΄.	τοῦ γ΄.
Γεν.	Ἐμαυτ-οῦ· ῆς· οῦ	σεαυτ-οῦ· ῆς· οῦ·	ἑαυτ-οῦ· ῆς. οῦ.
Δοτ.	ῷ ῇ ῷ	ῷ ῇ ῷ	ῷ ῇ ῷ.
Αἰτια.	ὸν ὴν ὸ.	ὸν ὴν ὸ	ὸν ὴν ὸ.

Αἱ μὲν τοῦ ά. καὶ β΄. προσώπου κλίνονται μόνον ἑνικῶς, αἱ δὲ τοῦ γ΄. καὶ πληθυντικῶς. Γεν. ἑαυτ-ῶν. Δοτ. ἑαυτ-οῖς αῖς. Αἰτιατ. ἑαυτ-οὺς καὶ ἃς.

(α) Κλίνονται καθὼς καὶ τὰ προτακτικὰ ἄρθρα, προςιθεμένου καὶ ἀφαιρουμένου τοῦ τ, ἐν ταῖς πτώσεσι καὶ γένεσι προςίθεται καὶ ἀφαιρεῖται ἐν τοῖς ἄρθροις, οἷον Ἑν. οὗτος, τούτου, τούτῳ, τοῦτον· Δυϊκ. τούτω, τούτοιν Πλ. οὗτοι, τούτων, τούτοις, τούτους. Ἑνικ. αὕτη, ταύτης, ταύτῃ, ταύτην. Δυϊκ ταύτα, ταύταιν· Πλ. αὗται, τούτων, ταύταις, ταύτας. Ἑνικ. τοῦτο, τούτου, τούτῳ, τοῦτο. Δυϊκ τούτω, τούτοιν· Πλ. ταῦτα, τούτων, τούτοις, ταῦτα.

(ϐ) Κλίνονται καθὼς καὶ αἱ κτητικαί.

(γ) ὁμοίως καὶ αὗται. ὡσαύτως σχεδὸν κλίνεται καὶ ἡ δεῖνα ἀόριςος ἀντωνυμία, οἷον Ὀνομ. Αἰτ. (ὁ, ἡ, τὸ, τὸν, τὴν, τὸ) δεῖνα· Γεν. (τοῦ, τῆς) δεῖνος. Δοτ. (τῷ, τῇ) δεῖνι. Πληθ. Ὀνομ. (οἱ, αἱ) δεῖνες. Γενικ. τῶν δείνων. Αἰτιατ. (τοὺς, τὰς) δεῖνας.

1. Αἱ εἰς υ καὶ ι λήγουσαι ἀντωνυμίαι βραχυκαταληκτοῦσι πλὴν τοῦ ἡμῖν καὶ ὑμῖν.

2· Τὸ παραληκτικὸν υ τῶν ἀντωνυμιῶν μηκύνεται.

3. Πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος οὖσα καὶ ἐπὶ τέλους τονιζομένη περισπᾶται, πλὴν τῆς ἐμοί, σοὶ καὶ τῶν ἀττικῶς σχηματιζομένων τοῦ νεὼ τοῦ λαγώ.

4. Αἱ πληθυντικαὶ ὀνομαςικαὶ καὶ αἰτιατικαὶ τῶν πρωτοτύπων περισπῶνται, οἷον ἡμεῖς ἐκ τοῦ ἡμέες, ὅπερ καλεῖται Συναίρεσις· διότι πᾶσα συναίρεσις ἐξ ὀξείας καὶ βαρείας περισπωμένην ποιεῖ, ἐκ δὲ βαρείας καὶ ϐαρείας ὀξεῖαν, ὁμοίως δὲ καὶ ἐξ ὀξείας καὶ δύο βαρειῶν· πλὴν τοῦ χρύσεος, χρυσοῦς καὶ τῶν ὁμοίων τούτῳ, καὶ τοῦ, ἡ Λητὼ, τὴν Λητόα, Λητώ· ὅτι πᾶσα πτῶσις ἑτέρᾳ ὁμοφωνήσασα ἔχει καὶ τὸν χρόνον αὐτῆς καὶ τὸν τόνον.

5. Πᾶσα ὀνομαςικὴ καὶ αἰτιατικὴ ἀσυναίρετος οὖσα, καὶ ἐπὶ τέλους τονιζομένη ὀξύνεται.

6. Πᾶσα ἀντωνυμία ἀπὸ τοῦ ε ἀρχομένη ψιλοῦται, πλὴν τῆς ε καὶ τῶν ἐξ αὐτῆς, ἀπὸ δὲ ἄλλου φωνήεντος ἀρχομένη δασύνεται, πλὴν τῆς ἀναφορικῆς.

7. Μακρὸν πρὸ ϐραχέος ἢ θέσει μακροῦ κείμενον προπερισπᾶται.

8. Μακρὸν πρὸ μακροῦ παροξύνεται.

9. Ἐπάνω ϐραχείας ἢ θέσει μακρᾶς συλλαϐῆς ἀεὶ ὀξεῖα τίθεται· ἡ δὲ ὀξεῖα ἐν τῇ συνεπείᾳ εἰς βαρεῖαν τρέπεται.

ΠΕΡΙ ΟΝΟΜΑΤΟΣ.

Τὰ ὀνόματα μεταβάλλονται κατὰ γένος, κατὰ ἀριθμὸν, κατὰ πτῶσιν. Εἰς τὰς πτώσεις θεωρεῖται οὐσιώδης διαφορὰ, ὃ καλεῖται Κλίσις· ἢ γὰρ ἡ λήγουσα τῶν ὀνομάτων μεταβάλλεται ἄνευ προσλήψεως ἑτέρας συλλαβῆς, καὶ τότε ὀνομάζονται Ἰσοσύλλαβα, ἢ μετὰ προσλήψεως, καὶ τότε Περιττοσύλλαβα.

Ὅθεν αἱ Κλίσεις τῶν ὀνομάτων εἰσὶ κυρίως δύο: πρώτη τῶν ἰσοσυλλάβων, καὶ δευτέρα τῶν περιττοσυλλάβων· καταχρηστικῶς δὲ πέντε: τέσσαρες τῶν ἰσοσυλλάβων καὶ μία τῶν περιττοσυλλάβων.

Τῶν Ἰσοσυλλάβων

Πρώτη Κλίσις (α).

Ἑνικὸς (β).

Ἀρσ. Ὀ. ὁ Αἰνεί-ας, Γ. τοῦ Αἰνεί-ου, Δ. τῷ Αἰνεί-ᾳ, Αἰ. τὸν Αἰνεί-αν, Κ. ὦ Αἰνεί-α.

Δυϊκός. Ὀν. καὶ Αἰτ.

τὼ Αἰνεί-α, Γεν. καὶ Δοτ. τοῖν Αἰνεί-αιν, Κλ. ὦ Αἰνεί-α.

Πληθυντικός.

Ὀν. οἱ Αἰνεῖ-αι, Γεν. τῶν Αἰνει-ῶν, Δοτ. τοῖς Αἰνεί-αις, Αἰτ. τοὺς Αἰνεί-ας, Κλ. ὦ Αἰνεῖ-αι.

Ἀρσ. Θηλ. (Κοινά.) Αης-ὴς, οῦ, ῇ, ὴν, ά· ὰ, αῖν, ά· αὶ, ῶν, αῖς, ὰς, αί.

Ἀρσ. ὁ χρύσης, τοῦ χρύσου, τῷ χρύσῃ, τὸν χρύσην, ὦ χρύση.

Δευτέρα.

Ἡ Τιμ-ὴ, τῆς τιμ-ῆς, τῇ τιμ-ῇ, τὴν τιμ-ὴν, ὦ τιμ-ή. τὰ λοιπὰ κατὰ τὸ ληστής.

Μοῦσα, ης, ῃ, αν, α. τὰ δὲ λοιπὰ κατὰ τὸ Αἰνείας (γ).

Τρίτη.

Ἀρσ. Θηλ. { Κοιν. Ἄνθρωπ-ος, ου, ῳ, ον, ε· ω, οιν, ω· οι· ων, οις, ους, οι(δ),

Οὐδ { Τὸ Ξύλ-ον, ου, ῳ, ον, ον· ω, οιν, ω· α, ων, οις, α, α(ε).

Τετάρτη.

Ἀρσ. Θηλ. { Κοιν. Εὔγε-ως (ζ), ω, ῳ, ων, ως· ω, ῳν, ω· ῳ, ων, ῳς, ως, ῳ.

Οὐδ. Εὔγε-ων, ω, ῳ, ων, ων. ω, ῳν, ω. ῳ, ων, ῳς, ω, ω.

Ἐπὶ ταύτην δυνατὸν ἀνάγεσθαι καὶ τὰ κλινόμενα Δωρικῶς ἀφαιρέσει τοῦ σ: Θωμᾶς, Θωμᾶ(η).

Πέμπτη Κλίσις.
Τῶν Περιττοσυλλάβων(θ).

ὁ Ἕλλην, ος, ι, α, Ἕλλην. ε, οιν, ε. ες, ων, σι, ας, ες(.α).

ἡ Σιδὼν, ος, ι, α, Σιδών. ε, οιν, ε. ες, ων, σι, ας, ες.

τὸ Νάπυ, ος, ι, -, -, ε, οιν, ε. α, ων, σι, α, α.

Τὰ δὲ ποιμ-ὴν, ένος· τρυγ-ὼν, όνος· πῶ-ϋ, εος. Ἄρα-ψ βος. Κύκλω-ψ, πος· κίνυ-ψ, φος· ἅρπα-ξ, γος· θώρα-ξ, κος· ἄνα-ξ, κτος· ὄνυ-ξ, χος· ἀλώπ-ηξ, εκος· τὶ-ς, νός· τὶ, τινός·

τί-ς; τί-νος;˙ τ-ί; τί-νος;. μέλα-ς, μέλα-νος˙ κτε-ὶς, κτε-νός˙ Πάρι-ς, δος. Πατρὶ-ς, δος˙ φιλόπατρι, δος˙ πο-ὺς, οδός, δίπο-υν, οδος˙ ὄρνι-ς, θος˙ κόρυ-ς, θος˙ τίρυν-ς, θος˙ ἕλμιν-ς˙, θος˙ Ξενοφῶ-ν, τος˙ τύπτ-ων, τος˙ τετυφ-ὼς, ότος˙ τυπ-ὼν, ὄντος˙ τυπ-ῶν, οῦντος˙ Κλήμ-ης, εντος˙ χαρίε-ις, εντος˙ ὀ-δο-ὺς, όντος˙ πόλ-ις, εως˙ βότρυ-ς, ος˙ ἡδ-ὺς, ος˙ πρέσβ-υς, εως˙ μείζ-ων, ονος˙ μεῖζον, ονος˙ πατ-ὴρ, έρος˙ ἀν-ὴρ, έρος˙ Λητ-ὼ, όος˙ αἰδ-ὼς, όος˙ βο-ῦς, οός˙ βασιλε-ὺς, έος, να-ῦς, ός˙ γρα-ῦς, αός˙ φθόϊ-ς, δος˙ κλεὶ-ς, δός˙ ἔρι-ς, δος˙ ὄφι-ς, ιος˙ ὄ-φ-ις, εως˙ Δημοσθέν-ης, εος˙ ἀληθ-ὴς, έος, τεῖχ-ος, εος˙ κρέα-ς, τος. Ταῦτα πάντα εἰ καὶ διαφέρουσιν ὁπωσοῦν τῷ τύπῳ τῆς κλίσεως, ἀλλ᾽ εὐμαρῶς ἄντις κλίνοι διὰ τῆς συνεχοῦς γυμνάσεως, καὶ διὰ τῶν ἀναγκαιοτέρων κανόνων καὶ τύπων, οἷοι εἰσὶν οἱ ἑξῆς.

Ὁ αἰ-ὼν, ῶνος, ῶνι, ῶνα, (ι). αἰῶνε, αἰώνοιν, ῶνε˙ ῶνες. ώνων, ῶσι, ῶνας.

Ὁ Γίγα-ς, ντος, ντι, ντα, ν˙ ντε, οιν˙ ντες, ντων, σι, ντας.

Ὁ Ἡ δαίμ-ων, ονος, ονι, ονα, ον˙ ονε, όνοιν˙ ονες, όνων, οσι, ονας.

Ὁ θὴρ, ὸς, ὶ, α. ε, οιν. ες, ῶν, σὶ, ας.

Ὁ Θὼ-ς, ὸς, ὶ, α˙ ε, οῖν˙ ες, ῶν, σὶ, ας˙

Ὁ κόρα-ξ, κος, κι, κα˙ κε, κοιν˙ ες, κων, ξι, κας.

Ὁ κὶς, ὸς, ὶ, ὶν, ί˙ ε, οῖν˙ ες, ῶν, σὶ, ας˙

Ὁ Ἡ παῖ-ς, δὸς, δὶ, δα, παῖ˙ δε, δοῖν˙ δες, δων, σὶ, δας.

Τὸ πρᾶγμα, τος, τι, , , τε, τοιν˙ τα, των, σι, τα.

Τὰ ἔχοντα ἐν τῇ ληγούσῃ ἓν τῶν φωνηέντων, ἢ διφθόγγων αυ, ευ, ου, καὶ ποιοῦντα τὴν γενικὴν εἰς αος, ἢ εος, ἢ εως, ἢ ιος, οος, ἢ υος, συναιροῦνται ἢ κατὰ πλείονας πτώσεις καὶ ὀνομάζονται Πολυπαθῆ, ἢ κατ᾽ ἐλάσσονας, καὶ ὀνομάζονται Ὀλιγοπαθῆ.

Πάθη Τῶν ἐχόντων ἐν τῇ ληγούσῃ η, ε, ο.

Ἑν. ὀν. ὁ Δημοσθέν-ης· Γ. εος, ους· Δ. εϊ, ει, Αἰ. εα, η(κ)· Κ. ες. Δ. ὀν. κ. Αἰ. εε, η· Γ. κ. Δ. έοιν, οῖν· Κ. εε, η. Π. ὀν. εες, εις. Γ. έων ῶν· (λ) Δ. εσι. Αἰ. εας, εις· Κ. εες, εις.

Οὕτω καὶ

Ἀρσ. | κοιν. Ἑν. ὀν. Ἀληθὴς· έος, οῦς· έϊ, εῖ· έα, ῆ· ές. έε, ῆ·
Θηλ, | έοιν, οῖν· έε, ῆ. έες, εῖς· έων, ῶν· έσι· έας, εῖς.

Οὐδ. Ἑν. ὀν. Ἀληθὲς· έος, οῦς· έϊ, εῖ· έε, ῆ, έοιν, οῖν· έα, ῆ, έων, ῶν, έσι.

Ἑν. Τεῖχ-ος· εος, ους· εϊ, ει. εε, η· έοιν, οῖν. εα, η· έων, ῶν· εσι.

Ὀν. ὁ ὄφ-ις, Γ. εως. Δ. εϊ, ει· Α. ιν. Κ. ι, ις. ὀν. αἰ. εε, η. Γ. κ. Δ. εοιν. ὀν. εες, εις. Γ. εων. Δ. εσι. Αἰ. εας, εις.

Οὕτω καὶ τὸ σίνηπ-ι· εως· εϊ, ει. Δ. ὀν. κ. αἰ. εε, η· εων. Π. ὀν. εα, η· Γ. εων· Δ. εσι.

Ὁμοίως καὶ τὸ ἡ Πόλ-ις. εως, εϊ, ει, ιν. ι καὶ ις. εε, η, εοιν. εες, εις· εων· εσι· εας, εις.

Πάθη τῶν α.

Τὸ αο συναιρεῖται εἰς ω· τὸ αϊ εἰς ᾳ· τὸ αε εἰς α· τὸ αοιν εἰς ῳν· τὰ αα εἰς α· τὸ αω εἰς ω, ὀν. κρέ-ας· Γ. αος (ἐκ τοῦ ατος ἀποβολῇ τοῦ τ Ἰωνικῶς) ως· Δ. αϊ, ᾳ. Ὀν. κ. Αἰ αε, α. Γ. κ. Δ. άοιν, ῷν. Ὀν. αα, α· Γ. άων, ῶν· Δ. ασι.

Πάθη τῶν ευ.

Βασιλ-εὺς· έως· έϊ, εῖ· έα· εῦ καὶ εὺς. έε, ῆ· έοιν. έες, εῖς. έων· εῦσι· έας, εῖς·

Πάθη τῶν ου.

Τὸ όε συναιρεῖται εἰς ου· τὸ όα εἰς ου: Βόες, οῦς· βόας, οῦς. Β-οῦς, οὸς· οῖ· όα· οῦν· οῦ, όε, οοῖν. όες, οῦς· οῶν. ουσί· όας, οῦς.

Πάθη Τῶν ω.

Ὀν. Λητὼ· Γεν. όος, οῦς· Δοτ. όϊ, οῖ, Αἰτ. όα, ώ· Κλ. οῖ. οἱ δὲ λοιποὶ ἀριθμοὶ κλίνονται κατὰ τὴν τρίτην· οὕτω κλίνεται καὶ τὸ αἰδὼς· όος, οῦς· όϊ, οῖ όα, ῶ· οῖ. (ν)

Πάθη Τῶν μεταβλητῶν υ.(ξ).

Ἡδ-ὺς· έος· έϊ, εῖ· έα καὶ ὺν· ύ. έε· έοιν. έες, εῖς· έων· έσι· έας, εῖς. Τὸ δὲ πρέσβ-υς, εως Ἀττικῶς.

Πάθη τῶν ἀμεταβλήτων υ.

Τὸ υε συναιρεῖται εἰς υ· τὸ υα εἰς υ: βότρυες, βότρυς· υας, υς.

βότρ-υς· υος· υϊ· υα, υν· υ. υε· ύοιν. υες, υς· ύων· υσι· υας, υς.

Πάθη τῶν Ὁλοπαθῶν Τῆς Πέμπτης.

Τὰ δὲ εἰς ὑς, ὧν ἡ γενικὴ εἰς ος, συναιροῦνται κατὰ μόνην τὴν πληθυντικὴν ὀνομαστικὴν, αἰτιατικὴν καὶ κλητικὴν: οἷον, ἰχθὺς, ὑος, ὑϊ, ὗν, ὑ· ἰχθύες, ὗς· ὑων, ὗσι, ὑας, ὗς· ὑες, ὗς. Τούτοις ἠκολούθησαν καὶ τὰ γρ-αῦς· αὸς καὶ εώς· αΐ· αὖν· αὖ. ᾶες· αῶν, καὶ εῶν· αυσί· άας, αῦς· άες.

Ν-αῦς· αὸς κ. εώς· αΐ κ. ηΐ· αὖν· αὖ, αῦς. ᾶες, ῆες κ. έες. αῶν κ. ηῶν κ. εῶν· αυσί· ᾶας, αῦς, ῆας έας· ᾶες, ῆες, καὶ έες.

Ὀνομ. Σιμ-όεις, οῦς· Γεν. όεντος, οῦντος. Δοτ. όεντι, οῦντι· Αἰτ. όεντα, οῦντα. Κλ· όει, οῦ· όεντε, οῦντε, οέντοιν, ούντοιν· όεντε, οῦντε· όεντες, οῦντες· οέντων, ούντων· όεσι, οῦσι· όεντας, οῦντας· όεντες, οῦντες. Οὕτω κλίνεται καὶ τὸ μελιτόεις, οῦς· ὀπόεις, οῦς· πλακόεις, οῦς· τὸ δὲ τιμήεις ῆς· ήεντος, ῆντος· ήεντι, ῆντι· ήεντα, ῆντα· ήει, ῆ· ἔχει ἀντὶ τῆς ου, η, ῆ η.

Περὶ τῶν Ἀριθμητικῶν ὀνομάτων.

Τὰ ἑνικὰ ἀριθμητικὰ ἑνικῶς μόνον κλίνονται· τὰ μὲν ἀρσενικὰ καὶ οὐδέτερα κατὰ τὴν πέμπτην, τὰ δὲ θηλυκὰ κατὰ τὴν δευτέραν: οἷον, Εἷς, ἑνὸς, ἑνὶ, ἕνα· Ἓν, ἑνὸς, ἑνὶ, ἓν· Μία, μιᾶς, μιᾷ, μίαν.

Τὸ δύο κλίνεται δυϊκῶς ἐπὶ ἀρσενικοῦ καὶ οὐδετέρου: δύο δυοῖν, καί δύω δυεῖν ἐπὶ θηλυκοῦ· πληθυντικῶς δὲ λαμβάνεται ἀκλίτως οἱ δύο, τῶν δύο, τοὺς δύο· πλὴν τῆς δοτικῆς δυσί.

Τὸ τρεῖς, τρία καὶ τέσσαρες, τέσσαρα κλίνονται μόνον

πληθυντικῶς: τρεῖς καὶ τρία, τριῶν, τρισὶ, τρεῖς· τέσσαρες καὶ τέσσαρα, τεσσάρων, τέσσαρσι, τέσσαρας.

Ἀπὸ δὲ τῶν πέντε μέχρι τῶν ἑκατόν εἰσιν ἄκλιτα· τὰ δὲ μετὰ ταῦτα πάλιν κλίνονται κατὰ τὴν τρίτην: οἷον, οἱ διακόσιοι, τῶν διακοσίων, οις, ους· κ. τ. λ.

Ταῦτα μὲν περὶ τῶν ὀνομάτων, ὅσα κλίνονται κατὰ πάσας τὰς πτώσεις εἰς μίαν τῶν πέντε κλίσεων, ἁπλῶς, ἢ συνηρημένως· ὅσα δὲ τὴν μὲν ὀνομαςικὴν καὶ αἰτιατικὴν καὶ κλητικὴν ἔχουσιν ὡς τὰ τῆς πέμπτης, τὰς δὲ λοιπὰς ὡς τὰ τῶν Ἰσοσυλλάβων, ἢ τὸ ἀνάπαλιν: οἷον, πολὺς, πολὺ, πολλοῦ, ἐκ τοῦ πολλὸς, πολλόν. Γυνὴ, γυναικὸς, ἐκ τοῦ γύναιξ. μέγας, μέγα, μεγάλου, ἐκ τοῦ μεγάλος. ἢ ἔχουσι μόνην τὴν ὀνομαςικὴν, τὰς δὲ ἐκλειπούσας λαμβάνουσιν ἀπ' ἄλλου τινος, οὗ ἡ ὀνομαςικὴ ἐκλείπει: οἷον τοῦ ἀρνὸς, τῷ ἀρνὶ, τὸν ἄρνα, οἱ ἄρνες, τοὺς ἄρνας, ἐκ τοῦ ἄρς τροπῇ τοῦ σ εἰς ν· ἡ δὲ ὀνομαςικὴ ἀρνός ἐςι τῆς γ΄. ἀρνὸς, ἀρνοῦ, ἀρνῷ. τὸ γάλα, γάλακτος, ἐκ τοῦ γάλαξ· τὸ Ζεὺς, Διὸς, Διῒ, Δία, ἐκ τοῦ Δίς· κύων, κυνὸς, ἐκ τοῦ κύς· ὄναρ, ὀνείρατος, ἐκ τοῦ ὄνειραξ· ὕδωρ, ὕδατος, ἐκ τοῦ ὕδας τροπῇ τοῦ σ εἰς τ· μάρτυς, μάρτυρος, ἐκ τοῦ μάρτυρ· Μωϋσῆς, Μωϋσέως, Μωϋσεῖ, Μωϋσέα, ἐκ τοῦ Μωϋσεύς· ἐκ γὰρ τοῦ Μωϋσῆς, ῆ, ῆν· τὸ δὲ οὖς, ὠτὸς, τροπῇ τῆς ου εἰς ω καὶ τοῦ σ εἰς τ. Καὶ ἔτι ὅσα κλίνονται Ἑνικῶς μὲν καὶ Δυϊκῶς ὡς τὰ ἀρσενικὰ, Πληθυντικῶς δὲ καὶ ὡς τὰ οὐδέτερα, οἷον ζυγὸς, ζυγοὶ, ζυγά· δεσμοὶ, δεσμά· κύκλοι, κύκλα· δίφροι, δίφρα· μηροὶ, μηρά· μοχλοὶ, μοχλά· ςαθμοὶ, ςαθμά· κέλευθοι, κέλευθα· ἢ μόνον ὡς τὰ οὐδέτερα: οἷον ἐρετμὸς, ἐρετμά· πλοῦτος, πλοῦτη· τάρταρος, τάρταρα· (ἅτινα οἱ Γραμματικοὶ ἀνώμαλα, καὶ ἑτερόκλητα ὀνομάζουσι). Ταῦτα πάντα ὁ μαθητὴς γυμνασθή-

σεται παρὰ τοῦ μεθοδικοῦ διδασκάλου διὰ τῆς καθ' ἑκάςην πρακτικῆς καὶ, ὅπου δεῖ, θεωρητικῆς Τεχνολογίας.

Σημειώσεις εἰς τὰς Κλίσεις τῶν Ὀνομάτων.

(α). Κοινὸν ἁπασῶν τῶν κλίσεων τὸ τὴν αὐτὴν ἔχειν Ὀνομαςικὴν καὶ Κλητικὴν ἐν παντὶ ἀριθμῷ, πλὴν τοῦ ἑνικοῦ ἐν αὐτῷ γὰρ Ἀττικῶς μόνον. καὶ τὸ τὴν γενικὴν πληθυντικὴν λήγουσαν εἰς ων, ἥτις διὰ τοῦτο καὶ Μέση λέγεται, καὶ τὰ ἐξ αὐτῆς παραγόμενα τροπικὰ ἐπιῤῥήματα Μεσότητος λέγονται; οἷον σοφῶς ἐκ τοῦ σοφῶν· διότι καὶ πᾶν μέρος λόγου ἐςὶν ἢ πρωτότυπον, ἢ παράγωγον· ὅ περ Εἶδος ὀνομάζεται. Ὅθεν Εἴδη εἰσὶ δύο, Πρωτότυπον. ἢ Παράγωγον.

(β) 1. Ὅσα τῆς ά. ἔχουσι πρὸ τοῦ ης τ, ἢ π, καὶ τὰ ἐθνικὰ, καὶ τὰ ἀπὸ τοῦ ἄρχω, τρίβω, πωλῶ, μετρῶ, εἰς α ποιοῦσι τὴν Κλητικὴν, οἷον δεσπότης, ὦ δέσποτα· κυνώπης, ὦ κυνῶπα· Πέρσα, Πατριάρχα, παιδοτρίβα, κρηπιδοπῶλα, Γεωμέτρα, κ. τ. λ. τὰ δὲ λοιπὰ εἰς η, οἷον χρύσης ὦ χρύση.

2. Τὸ ληκτικὸν α τῆς ἑνικῆς κλητικῆς τῶν εἰς ης τῆς ά. βραχύνεται, κυνῶπα, τῶν δὲ εἰς ας μηκύνεται, Αἰνεία, ὡς καὶ τὸ τῆς ὀνομαςικῆς Αἰνείας.

(γ) 1. Η πληθυντικὴ γενικὴ τῆς πρώτης καὶ δευτέρας περισπᾶται, πλὴν τινῶν, τῆς δευτέρας τῶν ἀπὸ τῆς τρίτης παραγομένων· ταῦτα γὰρ ὁμοτονοῦσι τῇ τρίτῃ, ἅγιαι, ἁγίων· ὅτι καὶ ἅγιοι, ἁγίων.

2. Τὸ ληκτικὸν α τοῦ δυϊκοῦ τῆς πρώτης καὶ δευτέρας μηκύνεται, τὼ Αἰνεία τὰ Μούσα.

3. Τὸ Αἰολικῶς παρεντιθέμενον α ἐν τῇ τῆς πρώτης καὶ δευτέρας γενικῇ μακρόν ἐςιν, Αἰνειάων, Μουσάων.

4. Τὰ εἰς α λήγοντα δευτερόκλιτα τρέπουσι τὸ α εἰς η ἐπὶ τῆς ἑνικῆς γενικῆς καὶ δοτικῆς, μοῦσα, μούσης, μούσῃ, ἐξαιρουμένων τῶν εἰς α καθαρὸν καὶ εἰς ρα, καὶ εἰς δα, καὶ εἰς θα ληγόντων· ταῦτα γὰρ φυλάττουσι τὸ α ἁγία, ἁγίας· ἡμέρα, ἡμέρας· Μάρθα, Μάρθας· Λήδα, Λήδας· πλὴν τῶν εἰς θα προπαροξυτόνων, οἷον ἄκανθα ἀκάνθης· καὶ Λύδδα Λύδδης.

(δ) Αἱ τρεῖς πτώσεις πάντων τῶν οὐδετέρων ὀνομαςικὴ, αἰτιατικὴ καὶ

κλητικὴ εἰσιν ὅμοιαι ἐν παντὶ ἀριθμῷ.

(ε). Μακρᾶς οὔσης τῆς ληγούσης, τόνος οὐ τίθεται ἐπὶ τῆς προπαραληγούσης, πλὴν τῶν Ἀττικῶς σχηματιζομένων.

(ζ) 1. Ἐπὶ ταύτην ἀνάγονται καὶ τὰ συνῃρημένα, βορέας, βοῤῥᾶς, βοῤῥᾶ· καὶ ὅλως τὰ κατ' ἀφαίρεσιν τοῦ ληκτικοῦ σ κλινόμενα, οἷον Θωμᾶς, Θωμᾶ· Διαμαντῆς, Διαμαντῆ, Ἰησοῦς, Ἰησοῦ· τὰ δὲ ὡς Ἑρμέας, Ἑρμῆς, Ἑρμοῦ, ῇ, ῆν, ἀνάγονται εἰς τὴν πρώτην· τὰ δὲ ὡς τὸ συκέα, ῆ, ῆς, ῇ, ῆν, καὶ μνάα, ᾶ εἰς τὴν β'. τὰ δὲ ὡς τὸ νόος, νοῦς. νοῦ, νῷ, νοῦν, νοῦ, νῶ, νοῖν, νῶ· νοῖ, νῶν, νοῖς, νοῦς, νοῖ ἀνάγονται εἰς τὴν γ'., ἅπερ καὶ Ὁλοπαθῆ λέγονται· διότι συναιροῦνται κατὰ πάσας τὰς πτώσεις.

2. Ἔνια τῶν τεταρτοκλίτων ποιοῦσι τὴν αἰτιατικὴν καὶ ἀφαιρέσει τοῦ ν, οἷον λαγὼν, λαγῶ· ἕων, ἕω· μάλιστα δὲ τὰ Τοπικὰ, οἷον Κέων, Κέω· Τέων, Τέω· Ἄθων, Ἄθω· ἔνια δὲ τῶν οὐδετέρων ἐπιθέτων ἀποβάλλουσι τὸ ν καὶ ἐν τῇ ὀνομαστικῇ, οἷον τὸ ἀγήρω.

(η). Πάντα τὰ ὀνόματα τὰ μὴ εἰς τὰς εἰρημένας Κλίσεις ἀναγόμενα, ταῦτα ἀνάγονται ἐπὶ τὴν πέμπτην, ἅπερ ἔχουσι ληκτικὰ τῆς ὀνομαστικῆς φωνήεντα μὲν τὰ α, ι, υ, ω· σύμφωνα δὲ τὰ ς, λς, νς, ν, ξ, ψ, ρ.

(θ). Τὸ ας τῶν πλαγίων, τῶν μὲν ἰσοσυλλάβων ἐκτείνεται, τῶν δὲ περιττοσυλλάβων συστέλλεται.

(ι) 1. Τὰ ὑπὲρ μίαν συλλαβὴν φυλάττουσι τὸν τόνον ἐπὶ τῆς αὐτῆς συλλαβῆς, ἐφ' ἧς ἔχει αὐτὸν καὶ ἡ ὀνομαστικὴ, εἰμὴ κωλύει ἡ μακρὰ λήγουσα τῆς γενικῆς τοῦ δυϊκοῦ καὶ πληθυντικοῦ.

2. Τὰ μονοσύλλαβα καταβιβάζουσι τὸν τόνον εἰς τὴν πτωτικὴν κατάληξιν μόνον κατὰ τὰς γενικὰς καὶ δοτικὰς παντὸς ἀριθμοῦ· ἐξαιροῦνται αἱ μετοχαὶ, δοὺς, δόντος, καὶ ἄλλα τινὰ φυλάττοντα τὸν τόνον ἐπὶ τῆς αὐτῆς συλλαβῆς· καὶ τὰ πληθυντικὰ πάντων, πᾶσι· καίτινα τῶν ἐκ συναιρέσεως μονοσυλλάβων γενομένων, λᾶς, λαός· ἦρ, ἦρος· κῆρ, κηρός· καὶ ἔτι αἱ πληθυντικαὶ γενικαὶ, δμώων, θώων, κράτων, παίδων, Τρώων, φώδων, φώτων, ὤτων.

(κ) Τὸ ε καὶ ο συναιρεῖται εἰς ου· τὸ ε καὶ ι εἰς ει· τὸ ε καὶ α εἰς η καὶ εἰς ει· τὸ ε καὶ ε εἰς η καὶ ει· τὸ ε καὶ οι εἰς οι· τὸ ε καὶ ω εἰς ω.

(2. δ.) 1. Ἐν τοῖς ἔχουσι πρὸ τοῦ ης φωνῆεν συναιρεῖται ἐκ τοῦ εα εἰς α καὶ εἰς η, τοῦ μὲν ἀρσενικοῦ ἡ ἑνικὴ αἰτιατικὴ, τοῦ δὲ οὐδετέρου ἡ πληθυντικὴ ὀνομαστικὴ καὶ αἱ ταύτῃ ὅμοιαι, οἷον τὸν ὑγιέα, ᾶ, ῆ· τὰ ὑγιέα, ᾶ, ῆ· τὰ δὲ μὴ ἀπὸ τῶν εἰς ης εἰς εα, εἰ μὲν ἔχουσι φωνῆεν, ἢ ρ πρὸ τοῦ εα συναιροῦνται εἰς α μόνον, Πειρεέα, ᾶ· ἀργυρέα, ᾶ· εἰδὲ σύμφωνον ἕτερον εἰς η μόνον, οἷον Δημοσθένεα, Δημοσθένη· ἀληθέα, ῆ· πλὴν τῶν ὁλοπαθῶν τριτοκλίτων οὐσιαστικῶν, οἷον ὀξέα, ᾶ.

2. Τὰ εἰς ης κύρια ὀνόματα σύνθετα ἀπὸ ῥήματος, καὶ τὰ τριγενῆ πο-

λυσύλλαβα, ποιοῦσι τὴν μὲν γενικὴν εἰς ους, τὴν δὲ αἰτιατικὴν εἰς η καὶ μό-
να τὰ Κύρια Ἀττικῶς καὶ εἰς ην, οἷον Δημόσθένης, Γ. ους, Αἰτ. η, καὶ ην·
Ἀριςοφάνης, Γ. ους· Αἰτ. η, καὶ ην· Ἑρμογένης, Γ. ους, Αἰτ. η, καὶ ην·
ὁ καὶ ἡ ἀληθὴς, Γεν. εος, ους· Αἰτ. η μόνον ἄνευ τοῦ ν. ὁμοίως καὶ πάν-
τα τὰ τριγενῆ ὀξύτονα πολυσύλλαβα. Τὰ δὲ πατρωνυμικὰ καὶ τὰ κύρια, τὰ
ἔχοντα σχηματισμὸν πατρωνυμικοῦ, καὶ τὰ εἰς ης ἁπλᾶ κύρια καὶ τὰ ἀπὸ
τοῦ παθητικοῦ Παρακειμένου κλίνονται κατὰ τὴν ά. οἷον Αἰακίδης, ου· Πη-
λείδης, ου· Εὐριπίδης. Αἰσχύνης, ου· ποιητὴς, οῦ· πλὴν τοῦ Ἄρης, εος καὶ
ως, εϊ, καὶ ει, καὶ τῶν μονοσυλλάβων ὀξυτόνων· οἷον Κρὴς, Κρητὸς· θὴς,
θητός.


(μ) Τὰ ἐκ τοῦ ἦθος εἰς ης παροξύτονα ἐπίθετα καὶ μετὰ τὴν συναί-
ρεσιν τῆς πληθυντικῆς γενικῆς μένουσιν ἐν αὐτῇ παροξύτονα, οἷον συνηθέων
συνήθων. τὰ δὲ ἀπὸ τοῦ κλέος σύνθετα διπλῆν συναίρεσιν πάσχουσι, ακτά
τινας πτώσεις, οἷων Ἡρακλ-έης, ῆς· έεος, έουςέεϊ, έει, καὶ εῖ, έεα, έα,
καί ῆ, καί ῆν· έες εῖς· κ. τ. λ.

Τὸ ι καὶ ι συναιρεῖται εἰς ι μακρὸν, ὁμοίως καὶ τὸ ι καὶ ε καὶ ι καὶ α
οἷον ὄφιϊ, ὄφι· ὄφιες, ις, ὄφιας, ις. τὰ συνάπεα, συνάπι.

Τούτων τὸ παραλῆγον ἰῶτα οἱ Ἀττικοὶ εἰς ε μεταβάλλοντες καί τὸ λη-
κτικὸν ο εἰς ω, και τῆς ληκτικῆς οι διφθόγγου τὸ ἰῶτα ὑπὸ τὸ ω γράφον-
τες, συναιροῦσιν αὐτὰ κατὰ μόνην τὴν ἑνικὴν δοτικὴν καὶ κατὰ τὴν δυϊκὴν
καὶ πληθ. ὀνμας. αἰτ. κλητικ. Ταῦτά ἐςι πάθη τῶν ι.

(ν) Τὸ ο και ο συναιροῦνται εἰς ου, τὸ ο καὶ ι εἰς οι, τὸ ο καὶ α εἰς ω.

(ξ) Τὰ πολλὰ τῶν εἰς ις καὶ υς οὐσιαςικῶν, ὄφις, πρέσβυς, πῆχυς
(πλὴν τοῦ οὐδετέρου εἰς ι και υ ἄς-υ, εος· πῶϋ, εος, φυλάττοντος πολλά-
κις τὴν κοινὴν γενικὴν) τρέπουσι τὸ δίχρονον εἰς ε· και τότε ἡ μὲν ἑνικὴ γε-
νικὴ εἰς ως, ἡ δὲ δυϊκὴ εἰς ων, και ἡ πληθυντικὴ εἰς ων προπαροξύτονος
Ἀττικῶς, ἡ δὲ ἑνικὴ δοτικὴ καὶ ἡ πληθυντικὴ ὀνοομαςικὴ αἰτιατικὴ καὶ κλη-
τικὴ συναιροῦνται ἐν παντὶ γένει. Τὰ δὲ εἰς υς ἐπίθετα, ὧν τὸ οὐδέτερον εἰς υ
ὑςεροῦνται και τῶν Ἀττικῶν γενικῶν και τῆς συναιρέσεως τῶν πληθυντικῶν
οὐδετέρων, οἷον ὁ ἡδὺς, τὸ ἡδὺ, τοῦ ἡδέος, τὰ ἡδέα· τὰ δὲ πηχέων, πη-
χῶν ἀντι πήχεων· ἡμίσεος, ους, ἡμίσεα, η· εἰσὶν Ἀττικισμοι μεταγενέςεροι.



Περὶ τῶν πτώσεων, καὶ περὶ τοῦ χρόνου καὶ τόνου αὐτῶν.

Ἡ γένικὴ καὶ Δοτικὴ τῶν μὲν ἰσοσυλλάβων ἀεὶ μακροκαταληκτεῖ ἐν παντὶ ἀριθμῷ: οἷον Αἰνείου, Αἰνείᾳ· τιμῆς, τιμῇ. τιμαῖν, τιμῶν, τιμαῖς. ἀνθρώπου, ἀνθρώπῳ, ἀνθρώποιν· ἀνθρώπων, ἀνθρώποις.

Τῶν δὲ περιττοσυλλάβων ἀεὶ βραχυκαταληκτεῖ: οἷον, Ἕλληνος, Ἕλληνι, Ἕλλησι, πλὴν τῶν συνῃρημένων Δημοσθένους, Δημοσθένει. καὶ τῆς Γενικῆς καὶ Δοτικῆς τοῦ δυϊκοῦ ἀριθμοῦ, καὶ τῆς Γενικῆς τοῦ πληθυντικοῦ· ἅυται γὰρ ἀεὶ μακροκαταληκτοῦσιν: οἷον Ἑλλήνοιν, Ἑλλήνων.

Ἡ Αἰτιατικὴ τοῦ ἑνικοῦ ἀριθμοῦ τῶν μὲν ἰσοσυλλάβων ἰσοχρονεῖ τῇ ὀνομαςικῇ :οἷον Αἰνείας, Αἰνείαν· μοῦσα, μοῦσαν· ἄνθρωπος, ἄνθρωπον. τῶν δὲ περιττοσυλλάβων ἰσυχρονεῖ τῇ γενικῇ: οἷον, Αἴαντος, Αἴαντα· ἐνίοτε δὲ τῇ ὀνομαςικῇ: οἷον, ναῦς, ναῦν· ὀφρῦς, ὀφρῦν. Ἡ γὰρ Αἰτιατικὴ τῶν εἰς αυς, ους, ις, υς, ὧν ἡ γενικὴ εἰς ος ἢ ως καθαρὸν γίνεται ἀπὸ τῆς ὀνομαςικῆς τροπῇ τοῦ σ εἰς ν: οἷον ναῦς, ναῦν· βοῦς, βοῦν· ὄφις, ὄφιν· ἡδὺς, ἡδύν.

Ὧν δὲ ἡ γεν. εἰς ος μὴ καθαρὸν, τῶν μὲν βαρυτόνων εἰς α καὶ εἰς ν: οἷον, ἔρις, ἔριδα καὶ ἔριν· εὔελπις, εὐέλπιδα καὶ εὔελπιν. Τῶν δὲ ὀξυτόνων εἰς α μόνον: ἐλπὶς, ἐλπίδα. Τῶν δὲ εἰς ης ἢ ευς συναιρουμένων εἰς καὶ καθαροκαταλήκτων γίνεται εἰς η ἢ εἰς α: οἷον ὑγιὴς, ὑγιέα ὑγιῆ καὶ ὑγιᾶ· τὸ δὲ πειραιεὺς εἰς α μόνον: οἷον, πειραιέα, πειραιᾶ.

Ἡ δὲ πληθυντικὴ τῶν μὲν ἰσοσυλλάβων μακροκαταληκτεῖ, τῆς ὀνομαςικῆς βραχυκαταληκτούσης: οἷον μοῦσαι, μούσας·

πλὴν τῶν Ἀττικῶς σχηματιζομένων: οἷον οἱ εὔγεῳ, τοὺς εὔγεως· τῶν δὲ περιττοσυλλάβων ἰσοχρονεῖ τῇ ὀνομαστικῇ: οἷον, Ἕλληνες, Ἕλληνας· πόλεες, πόλεις· πόλεας, πόλεις.

Ἡ Κλητικὴ τοῦ ἑνικοῦ ἀριθμοῦ τῶν μὲν ἰσοσυλλάβων ἰσοχρονεῖ καὶ ὁμοτονεῖ τῇ ὀνομαστικῇ: οἷον, Αἰνείας, ὦ Αἰνεία. μοῦσα, ὦ μοῦσα· Ἄνθρωπος, ὦ Ἄνθρωπε· πλὴν τῶν εἰς ης πρωτοκλίτων τῶν ποιούντων τὴν κλιτικὴν εἰς α· τούτων γὰρ ἡ κλητικὴ βραχυκαταληκτεῖ, καὶ προπαροξύνεται: οἷον δεσπότης, ὦ δέσποτα· πατριάρχης, ὦ πατριάρχα.

Τῶν δὲ περιττοσυλλάβων ἐν ἐνίοις, μὲν ἡ αὐτή ἐστι τῇ ὀνομαστικῇ: οἷον Ἕλλην, ὦ Ἕλλην. ἄναξ, ὦ ἄναξ. ποιμὴν, ὦ ποιμήν. ἐν πολλοῖς δὲ διαφέρει.

Καὶ γὰρ ἡ κλητικὴ τοῦ ἑνικοῦ τῶν μὲν εἰς σ ληγόντων μετὰ διφθόγγου, ἢ μετὰ τοῦ ι, υ, γίνεται ἀπὸ τῆς ὀνομαστικῆς ἀποβολῇ τοῦ σ: οἷον βασιλεὺς, ὦ βασιλεῦ (α)· ναῦς, ὦ ναῦ· βοῦς, ὦ βοῦ· πόλις, ὦ πόλι· ἡδὺς, ὦ ἡδύ· οἷς ἠκολούθησε καὶ τὸ Κλήμης, ὦ Κλήμη· πλὴν τοῦ πούς, ὦ πούς· καὶ ὀδοὺς, ὦ ὀδούς· καὶ πλὴν τῶν Μετοχῶν· τῶν γὰρ Μετοχῶν ἡ αὐτή ἐστιν ὀνομαστικὴ καὶ κλητική: οἷον ὁ λέγων, ὦ λέγων.

Τῶν δὲ ποιούντων τὴν γενικὴν εἰς νος, ἢ εἰς ντος, γίνεται ἀπὸ τῆς Γενικῆς ἀποβολῇ τοῦ ος, ἢ τος: οἷον μέλας, μέλανος, ὦ μέλαν· Αἴας, Αἴαντος, ὦ Αἶαν, πλὴν τοῦ Ἄτλας, ὦ Ἄτλα. Τῶν δὲ εἰς ω, ἢ εἰς η ληγόντων καὶ συστελλόντων αὐτὰ ἐν ταῖς

(α) Τῶν δὲ ὀξυτόνων ἀρσενικῶν, ἢ θηλυκῶν τῶν ληγόντων εἰς αις, αυς, ευς, ους, ως, ω, ἡ κλητικὴ διφθογγογραφεῖται καὶ περισπᾶται. οἷον παῖς, παῖ· βασιλεὺς, βασιλεῦ· βοῦς, βοῦ· αἰδὼς, αἰδοῖ· Λητὼ, Λητοῖ.

πλαγίαις, γίνεται ἀπὸ τῆς ὀνομαςικῆς συςολῇ τοῦ μακροῦ καὶ ἀναβιβασμῷ τοῦ τόνου, ὅπου δεῖ: οἷον λέων, λέοντος, ὦ λέον. Νέςωρ, Νέςορος, ὦ Νέςορ· Δημοσθένης, Δημοσθένεος, ὦ Δημόσθενες. μήτηρ, μητέρος, ὦ μῆτερ· πλὴν τῶν εἰς ην ὀυσιαςικῶν ὀξυτόνων: οἷον ποιμὴν, ποιμένος, ὦ ποιμὴν, μὴ συςελλομένων ἐν τῇ Κλητικῇ· καὶ πλὴν τοῦ ὦ Ἄπολλον, Πόσειδον, σῶτερ, συςελλομένων ἐν μόνῃ τῇ Κλητικῇ· καὶ τοῦ ὦ τρυγὸν οὐκ ἀναβιβάζοντος τὸν τόνον.

Συςελλουσι δὲ τὸ ληκτικὸν ω τῆς ὀνομαςικῆς ἐν ταῖς πλαγίαις ἐκ μὲν τῶν ἐις ων

1. Τὰ δισύλλαβα εἴτε πολυσύλλαβα ἔχοντα διάφορον δισύμφωνον καὶ μὴ περιεκτικὰ ὄντα: οἷον ἄκμων, ἄκμονος. ἐνοσίχθων, ονος.

2. Τὰ διὰ τοῦ ντ κλινόμενα: λέων, λέοντος.

3. Τὰ μὴ πόλεων σημαντικὰ, θηλυκὰ: τρυγὼν, τρυγόνος. Καὶ ἐκ τῶν πόλεων μόνα τὰ Ἀνθηδόνος, Ὀλοσσόνος, Χαλκηδόνος.

4. Τὰ παραλήγοντα τῷ η: Σαρπηδὼν, Σαρπηδόνος. Πατήων, ονος. Καὶ τὰ τῷ υ ὀξύτονα: ἀλεκτρυὼν, όνος. καὶ ἐκ τῶν ληγόντων εἴς τι τῶν ψιλῶν, ἤ μέσων μόνα τὰ πέπων; Μακεδὼν, σηπεδών.

5. Τὰ ἐκ τοῦ φρὴν, ἄφρων, ἄφρονος.

6. Τὰ ῥηματικὰ: μνήμων, μνήμονος. Αἴσων ονος· Ἰάσων, ονος, καὶ τὰ κοινὰ τῷ γένει: σώφρων, ονος.

7. Τὰ συγκριτικὰ: καλλίων, ονος. καὶ ἐκ τῶν εἰς καθαρὰ ἀμετάβολα λήγοντα μὴ συγκριτικὰ, μηδὲ ῥηματϊκὰ μόνα τὰ ςήμων, Στρυμὼν, τέλμων.

8. Τὰ σύνθετα παρώνυμα: ἀναίμων, ἀναίμονος.

9. Τὰ ὑπὲρ μίαν συλλαβὴν μὴ περιεκτικὰ ὀξύτονα μὴ συ-

νηρημένα, μηδὲ κύρια: κανὼν, κανόνος, πλὴν τοῦ ἀγκὼν, ἀγκῶνος· χειμὼν, χειμῶνος· χιτὼν, χιτῶνος. Καὶ ἐκ τῶν καθαροκαταλήκτων μόνα τὰ Ἀμφίων, Ἰξίων, Πανδίων, Ὑπερίων· Καὶ πάντα τὰ τῷ α παραλήγοντα παροξύτονα καθαροκατάληκτα: Μαχάων, ονος.

10. Τὰ ἐθνικὰ: Μακεδὼν, όνος, πλὴν τοῦ Καύκων, Λάκων, Μάλων.


Ἐκ δὲ τῶν εἰς ωρ τὰ ἔχοντα λ ἢ μ πρὸ τοῦ ωρ Νέστωρ, Νέστορος, πλὴν τοῦ ἰχὼρ, ἰχῶρος.

Τῶν δὲ εἰς ωψ φυλάττουσι τὸ τῆς ὀνομαστικῆς αἱ πλάγιαι: Κύκλωψ, Κύκλωπος· Πέλοψ, Πέλοπος. Ὁμοίως καὶ τῶν εἰς ως: ἥρως, ἥρωος, πλὴν τῶν θηλυκῶν συστελλομένων ἐν ταῖς πλαγίαις: οἷον αἰδὼς, αἰδόος, ὡς καὶ τὰ εἰς ω: οἷον Λητὼ, όος.

Ἡ πληθυντικὴ δοτικὴ τῶν πεμπτοκλίτων σχηματίζεται ἀπὸ τῆς ἑνικῆς ὀνομαστικῆς προσλήψει τοῦ ι καὶ ἐπενθέσει τοῦ σ, ὅπου οὐκ ἔστι ληκτικὸν τῆς ὀνομαστικῆς, καὶ ἀφαιρέσει τοῦ ν ὅπου ἐστι, καὶ ρ ἐνίοτε διὰ τὸ δύσφθεγκτον· καὶ τῶν διὰ τοῦ ντ κλινομένων τῶν μὲν ληγόντων εἰς ων, ἢ ειον, τρεπόντων τὸ ω, ἢ ο εἰς ου, τῶν δὲ εἰς ας φυλαττόντων τὸ α ἀεὶ μακρὸν: οἷον κόραξ, κόραξι· Ἕλλην Ἕλλησι· δέλεαρ, δελέασι· λέων, λέουσι. πᾶς, πᾶσι. τὸ γράφον, τοῖς γράφουσι· γραφθεὶς, γραφθεῖσιν· οἷς ἠκολούθησε καὶ τὸ γραφθὲν τοῖς γραφθεῖσι. Τὰ δὲ χαρίεις χαρίεν καὶ τὰ ὅμοια τούτοις σχηματίζουσι διττῶς: οἷον χαρίεισι καὶ χαρίεσι

Τῶν δὲ εἰς ης ἢ υς, ηξ ἀρσενικῶν ἢ θηλυκῶν καὶ τρεπόντων τὸ η, υ εἰς ε, καὶ τῶν εἰς ος ἢ υ οὐδετέρων, σχηματίζεται τροπῇ τοῦ η, υ, ο εἰς ε, καὶ προσλήψει τοῦ ι. οἷον ἀληθὴς, ἀληθέσιν· ἡδὺς, ἡδὺ, ἡδέσιν· ἀλώπηξ, ἀλώπεξι· τεῖχος, τείχεσιν. Ἐν δὲ τὸ οὖς, ὠσὶν, ἡ ου τρέπεται

εἰς ω, καὶ ἐν τῷ πούς, ποσὶν, ἀποβάλλει τὸ υ , ὡς καὶ ἐν τῷ κτείς, κτεσίν ἀποβάλλεται τὸ ι. Καὶ ἐν τῷ πατὴρ, μήτηρ, ἀνὴρ, σχηματίζεται ἡ Κλητικὴ ἀποβολῇ τοῦ η καὶ προσλήψει τοῦ ασι βραχέος ἢ μόνου, ἢ καὶ ἀπενθέσει τοῦ δ πρὸ τοῦ ρ: οἷον πατράσι, μητράσιν, ἀνδράσι.



ΠΕΡῚ ῬΉΜΑΤΟΣ.

Ὀκτώ εἰσι τὰ παρεπόμενα τῷ Ῥήματι: Ἔγκλισις, Διάθεσις, Εἶδος, Σχῆμα, Ἀριθμὸς, Πρόσωπον, Χρόνος, Συζυγία.

Ἐγκλίσεις εἰσὶ πέντε: Ὁριστικὴ, Προστακτικὴ, Εὐκτικὴ, Ὑποτακτικὴ, Ἀπαρέμφατος.

Διαθέσεις πέντε: Ἐνεργητικὴ, Παθητικὴ, Οὐδετέρα (κυρίως), Μέση, Ἐπίμεσος (καταχρηστικῶς.)

Εἴδη δύο Πρωτότυπον, οἷον ἄρδω. Παράγωγον: οἷον ἀρδεύω.

Σχήματα δύο Ἁπλοῦν: οἷον, φέρω, Σύνθετον: οἷον, ἐπιφέρω.

Ἀριθμοὶ τρεῖς: Ἑνικὸς, Δυϊκὸς, Πληθυντικός.

Πρόσωπα τρία: Πρῶτον, Δεύτερον, Τρίτον.

Χρόνοι ἕξ: Ἐνεστὼς, Παρατατικὸς, Παρακείμενος, Ὑπερσυντελικὸς, Μέλλων, Ἀόριστος.

Συζυγίαι κυρίως εἰσι δύο: Πρώτη τῶν ληγόντων εἰς ω βαρυτόνων ἢ περισπωμένων, καὶ Δευτέρα τῶν εἰς μι.

ὉΡΙΣΤΙΚᾺ ἘΝΕΡΓΗΤΙΚᾺ.

Τῆς Α. Συζυγίας Τῶν Βαρυτόνων.

Ἐ ν ε σ τ ώ ς.

Ἑνικὸς˙			Δυϊκὸς˙		Πληθυντικός.		
α.	β΄.	γ΄.	β΄.	γ΄.	α	β΄	γ΄.
Γράφ-ω,	εις,	ει˙	ετον,	ετον (α)˙	ομεν,	ετε,	ουσι (β)˙
			Παρατατικός.				
Ἔγραφ-ον,	ες,	ε˙	ετον,	έτην˙	ομεν,	ετε,	ον˙

Παρακείμενος.

Γέγραφ-α, ας, ε· ατον, ατον· αμεν, ατε, ασι.

Ὑπερσυντελικός

Ἐγεγράφ-ειν, εις, ει· ειτον, είτην· ειμεν, ειτε, εισαν.

Μέλλων.

Γράψ-ω, εις, ει· ετον, ετον· ομεν, ετε, ουσι.

Ἀόριςος

Ἔγραψ-α, ας, ε(γ). ατον, άτην· αμεν, ατε, αν.

ΠΡΟΣΤΑΚΤΙΚΑ.

Ἐνεςὼς. καὶ Παρατατικός.

Ἑνικὸς·	Δυϊκὸς·	Πληθυντικός
Γράφ-ε, ἑτω·	ετον, έτων·	ετε, έτωσαν καὶ γραφόντων Ἀττικῶς.

Παρακ. καὶ Ὑπερσ.

Γέγραφ-ε. έτω·	ετον, έτων·	ετε, έτωσαν.

Ἀόρις.

Γράψ-ον, άτω·	ατον. άτων.	ατε, άτωσαν(δ).

ΕΥΚΤΙΚΑ.

Ἐνες. καὶ Παρατ.

Ἑνικ.	Δυϊκ.	Πληθυντ.
Γράφ-οιμι, οις, οι·	οιτον, οίτην.	οιμεν, οιτε, οιεν.

Παραχ. καὶ Ὑπερσ.

Γεγράφ-οιμι, οις, οι· οιτον, οίτην· οιμεν, οιτε, οιεν.

Μέλ.

Γράψ-οιμι, οις, οι· οιτον, οίτην· οιμεν, οιτε, οιεν.

Ἀόρ.

Γράψ-αιμι, αις, αι· αιτον, αίτην· αιμεν, αιτε, αιεν.

Ἀόρ. Αἰολικός.

Γράψ-εια, ειας, ειε· είατον, ειάτην. είαμεν, είατε, ειαν(ε).

ὙΠΟΤΑΚΤΙΚΆ.

Ἐνεϛ. καὶ Παρατ.

	Ἑνικ.	Δυϊκ.	Πληθ.
Ἐὰν γράφ-ω, ῃς, ῃ·		ητον, ητον·	ωμεν, ητε, ωσι.

Παραχ. καὶ Ὑπερσ.

Ἐὰν γεγράφ-ω, ῃς, ῃ· ητον, ητον· ωμεν, ητε, ωσι.

Ἀόρ.

Ἐὰν γράψ-ω, ῃς, ῃ· ητον, ητον· ωμεν, ητε, ωσι(ζ).

ἈΠΑΡΈΜΦΑΤΑ.

Ἐνεϛ. καὶ Παρατ. Γράφειν.
Παραχ. καὶ Ὑπερσ. Γεγραφέναι.
Μέλλων. Γράψειν.
Ἀόριϛος. Γράψαι.

ΜΕΤΟΧΑΙ.

	Ἀρσεν.	Θηλ.	Οὐδ.
Ἐν. καὶ Παρατ.	Γράφ-ων, οντος·	ουσα, ούσης·	ον, οντος.
Παρακ. κ. Ὑπ.	Γεγραφ-ὼς, ότος.	υῖα, υίας·	ὸς, ότος.
Μέλλων.	Γράψ-ων, οντος·	ουσα, ούσης·	ον, οντος.
Ἀόριςος.	Γράψ-ας, αντος·	ᾶσα, άσης·	αν, αντος.

ΟΡΙΣΤΙΚΑ ΠΑΘΗΤΙΚΑ.

Ἐνες.

Ἑνικ. Γράφ-ομαι, η, εται·
Δυϊκ. όμεθον, εσθον, εσθον·
Πληθ. όμεθα, εσθε, ονται.

Παρατ.

Ἐγραφ-όμην, ου, ετο.
όμεθον, εσθον, έσθην·
όμεθα, εσθε, οντο.

Παρακ.

Γέγρα-μμαι, ψαι, πται·
μμεθον, φθον, φθον·
μμεθα, φθε, φαται Ἰωνικῶς (η).

Ὑπερσ,

Ἐγεγρά-μμην, ψο, πτο·

μμεθον, φθον, φθην·
μμεθα, φθε φατο Ἰωνικ.

Ἀόρ.

Ἐγράφθ-ην, ης, η· ητον, ήτην. ημεν, ητε, ησαν.

Μέλ.

Γραφθήσ-ομαι, η, εται· όμεθον, εσθον, -, όμεθα, εσθε, ονται.

ΠΡΟΣΤΑΚΤΙΚΑ

Ἐνεσ. καὶ Παρατ.

Γράφ-ου, έσθω· εσθον, έσθω· εσθε, ἔσθωσαν.

Παρακ. καὶ Ὑπερσ.

Γέγρα-ψο, φθω· φθον, φθων· φθε, φθωσαν.

Ἀόρ.

Γραφ-θητι, θήτω· θητον, θήτων· θητε, θήτωσαν.

ΕΥΚΤΙΚΑ.

Ἐνεσ. καὶ Παρατ.

Γραφ-οίμην, οιο, οιτο.
οίμεθον, οισθον, οίσθην·
οίμεθα, οισεσθε,, οιντο.

Παρακ. καὶ Ὑπερσ. Γεγραμμένος, εἴην (θ)·

Μέλ. Γραφθησοίμην, κατὰ τὸ Γραφοίμην.

Ἀόρ.

Γραφ-θείην, είης, είη· είητον, ειήτην· είημεν, είητε, είησαν(ι).

ΥΠΟΤΑΚΤΙΚΑ.

Ἐνεϛ. καὶ Παρατ.

Ἐὰν γράφ-ωμαι,	ῃ,	ηται.
ώμεθον,	ησθον,	ησθον·
ώμεθα,	ησθε,	ωνται.

Παρακ. καὶ Ὑπερσ, Γεγραμμένος ἐὰν ὦ·

Ἀόρ.

Ἐὰν γραφθ-ῶ, ῇς, ῇ· ῆτον, ῆτον· ῶμεν, ῆτε, ῶσι(κ).

ΑΠΑΡΕΜΦΑΤΑ.

Ἐνεϛ. καὶ Παρατ.	Γράφ-εσθαι.
Παρακ. καὶ Ὑπερσ.	Γεγράφ-θαι
Μέλλων·	Γραφ-θήσεσθαι.
Ἀόριϛος·	Γραφ-θῆναι.

ΜΕΤΟΧΑΙ.

	Ἀρσ.		Θηλ.	Οὐδ.
Ἐν. κ. π.	Γραφόμεν-ος,	ου·	η, ης·	ον, ου.
Π. κ. ὑ,	Γεγραμμέν-ος,	ου·	η, ης·	ον, ου.
Μέλλων·	Γραφθησόμεν-ος,	ου·	η, ης·	ον, ου.
Ἀόριϛος·	Γραφθ-είς,	έντος·	εῖσα, είσης·	ὲν, έντος.

ὉΡΙΣΤΙΚᾺ ΜΈΣΑ(λ).

Μέλλων. Γράψομαι κατὰ τὸ Γράφομαι (μ.).

Ἀόρ.

Ἐγραψ-άμην, ω, ατο· άμεθον, ασθον, άσθην· άμεθα, ασθε, αντο.

ΠΡΟΣΤΑΚΤΙΚᾺ

Ἀόρ. Γράψ-αι, άσθω. ασθον, άσθων. ασθε, άσθωσαν καὶ άσθων Ἀττικῶς.

ΕΥ̓ΚΤΙΚᾺ.

Μέλλων· Γραψοίμην κατὰ τὸ Γραφοίμην.

Ἀόρ.

Γραψαί-μην, ο, το. μεθον, σθον, σθην. μεθα, σθε, ντο.

ὙΠΟΤΑΚΤΙΚᾺ.

Ἀόριςος· Ἐὰν Γράψωμαι κατὰ τὸ Γράφωμαι.

ἈΠΑΡΈΜΦΑΤΑ

Μέλλων· Γράψεσθαι. Ἀόριςος. Γράψασθαι.

ΜΕΤΟΧΑΊ.

Μέλ. Γραψόμεν-ος, ου· η, ης· ον, ου.
Ἀόρ· Γραψάμεν-ος. ου· η, ης· ον, ου.

Σημειώσεις τοῦ τύπου τῶν εἰς ω Βαρυτόνων.

(α) Τοῦ πληθυντικοῦ ά. προσώπου λήγοντος εἰς μεν, τὸ δυϊκὸν ά. πρόσωπον ἀπολείπει, ὡς συμπίπτον τῷ πληθυντικῷ· ὁ γὰρ δυϊκὸς ἀριθμὸς τὸ πάλαι ἦν ἀντὶ πληθυντικοῦ.

(ϐ) Τοῦ πληθυντικοῦ γ'. προσώπου λήγοντος εἰς ι ἢ αι, τὰ δυϊκὰ ϐ'. καὶ γ'. ὁμοιά εἰσιν· ὅτε δὲ ἄλλως ἔχει, ἀνόμοια διατελοῦσι, λήγοντα τὸ μὲν δεύτερον εἰς ον, τὸ δὲ τρίτον εἰς ην μετὰ τοῦ συμφώνου τοῦ πληθυντικοῦ δευτέρου προσώπου· πλὴν τοῦ προςακτικοῦ τρίτου εἰς ων σχηματιζομένου.

(γ) Τὰ τρίτα πρόσωπα τῶν ῥημάτων τὰ εἰς ε ἢ εἰς ι λήγοντα, καὶ αἱ πληθυντικαὶ δοτικαὶ αἱ εἰς ι λήγουται, ἐπιφερομένου φωνήεντος, προσλαμϐάνουσι τὸ ν, οἷον ἔγραψεν, ἢ γράψουσιν ἅπασιν ἡμῖν. Ἐπιφερομένου δὲ συμφώνου, ἀποϐάλλουσιν αὐτό· οἷον, ἔγραψε καὶ γράψουσι πᾶσι τοῖς ἐκλεκτοῖς.

(δ) Τὰ προςακτικὰ πάντα βαρύνονται, πλὴν τοῦ ἐλθὲ, εὑρὲ, εἰπὲ, ἰδὲ, λαϐὲ, ὀξυτονουμένων Ἀττικῶς, καὶ τοῦ γενοῦ, καὶ τῶν τούτῳ ὁμοίων, περισπωμένων μόνον κατὰ τὸ δεύτερον ἑνικόν.

(ε) Τὸ δεύτερον καὶ τρίτον ἑνικὸν, καὶ τὸ τρίτον πληθυντικὸν τοῦ Αἰολικοῦ εἰσιν εὐχρηςότερα τοῦ Ἀορίςου.

(ζ) Τὰ ἐν ταῖς ληγούσαις τῶν ῥημάτων α καὶ ι συςέλλονται.

(η) Τὸ πληθυντικὸν τρίτον τοῦ παθητικοῦ Παρακειμένου καὶ Ὑπερσυντελικοῦ σχηματίζεται ἀπὸ τοῦ τρίτου προσλήψει τοῦ ν πρὸ τοῦ τ, οἷον γέγραπνται, ἐγέγραπντο· ἀλλ' ὅταν τὸ ἑνικὸν τρίτον πρὸ τοῦ τ ἔχῃ σύμφωνον, ἀπολείπει τὸ πληθυντικὸν διὰ τὸ δύσφθεγκτον· ἀναπληροῦσι δὲ αὐτὸ διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος, οἷον γεϐραμμένοι εἰσί, καὶ γεγραμμένοι ἦσαν. Οἱ δὲ Ἴωνες σχηματίζουσιν αὐτὸ προτιθέντες α πρὸ τοῦ τ καὶ τρέποντες τὸ πρὸ τοῦ τ σύμφωνον· εἰ μέν ἐςι ψιλὸν εἰς τὸ ἀντίςοιχον δασὺ, εἰ δ' ἔςι σ εἰς τὸ σύμφωνον τοῦ θέματος, οἷον γεγράφαται, πεφράδαται, ἐγεγράφατο· ἢ τρέποντες τὸ μὲν ν εἰς α, τὸ δὲ πρὸ τοῦ ν σύμφωνον ψιλὸν ὂν, εἰς τὸ ἀντίςοιχον δασύ· εἰδ' ἔςι σ εἰς τὸ ςοιχεῖον τοῦ θέματος, οἷον γέγραπνται, γεγράφαται· πέφρασνται, πεφράδαται.

(θ) Ὅταν ὁ ὁριστικὸς Παρακείμενος ἔχῃ πρὸ τοῦ ληκτικοῦ μαι σύμφωνον, ἢ φωνῆεν υ, ι, τότε ὁ Παρακείμενος καὶ Ὑπερσυντελικὸς τῆς Εὐκτικῆς καὶ Ὑποτακτικῆς ἀναπληροῦται διὰ μετοχῆς καὶ ὑπαρκτικοῦ ῥήματος, οἷον γεγραμμένος εἴην, γεγραμμένος ἐὰν ὦ, πλὴν τοῦ κεχρίμην, κεχρῖο, κεχρῖτο· λελυίμην, λελυῖο, λελυῖτο· ὅταν δ' ἔχῃ ἄλλο τι τῶν εἰρημένων, τότε ὁ μὲν εὐκτικὸς σχηματίζεται ἀπὸ τοῦ ὁριστικοῦ τροπῇ τοῦ μαι εἰς μην καὶ προσλήψει τοῦ ι πρὸ τοῦ μην, ὃ ἤτοι προσγράφεται, ἢ ὑπογράφεται, οἷον πεποίημαι, πεποιῄμην· βεβόημαι, βεβοῄμην· κεχρύσωμαι, κεχρυσῴμην· ἔσαμαι, ἐσαίμην· δέδομαι, δεδοίμην· πλὴν τοῦ τέθειμαι, τεθείμην καὶ τῶν ὁμοίων μὴ προσλαμβανόντων τὸ ι διὰ τὸ παραλήγειν διφθόγγῳ ἐν τῷ ὁριστικῷ ἔθει Βοιωτικῷ. ὁ δὲ ὑποτακτικὸς ἐκ τοῦ αὐτοῦ ὁριστικοῦ, τρεπομένης τῆς παραληγούσης εἰς ω καὶ τονιζομένης, οἷον πεποιῶμαι, βεβοῶμαι, κεχρυσῶμαι, τεθῶμαι, ἐσῶμαι, δεδῶμαι.

(ι) Καὶ κατὰ συγκοπὴν, γραφθεῖμεν, εἶτε, εἶσαν.

(κ) Πᾶν ῥῆμα μακροκατάληκτον, καὶ ἐπὶ τέλους τονιζόμενον περισπᾶται, πλὴν τοῦ χρὴ, καὶ φής.

(λ) Ὁ Ἐνεστὼς ὁ Παρατατικὸς ὁ Παρακείμενος ὁ Ὑπερσυντελικὸς τῶν Μέσων ῥημάτων εἰσὶν οἱ αὐτοὶ κατὰ τὴν φωνὴν τοῖς παθητικοῖς, διακρίνονται δὲ ἐκ μόνης τῆς σημασίας.

(μ) Ἐκ τῆς Ἀρχούσης τοῦ παρακειμένου καὶ τῆς παραληγούσης καὶ ληγούσης τοῦ μέσου Μέλλοντος σχηματίζεται ὁ λεγόμενος Μετ' ὀλίγον Μέλλων γεγράψομαι, ὅστις ἔχει πρὸς τὸ μέλλον, ὡς ὁ παρακείμενος πρὸς τὸ παρεληλυθός. Ὥσπερ γὰρ ὁ παρακείμενος δηλοῖ οὐ μόνον τὸ πρὸ ὀλίγου, ἀλλὰ καὶ τὸ διαμένον τοῦ παρεληλυθότος, οὕτω καὶ ὁ μετ' ὀλίγον μέλλων τὸ μετ' ὀλίγον καὶ τὸ διατεινόμενον τοῦ μέλλοντος· ὅθεν καὶ πολλάκις σχηματίζεται ἐκ μόνου τοῦ δευτέρου προσώπου τοῦ παθητικοῦ Παρακειμένου· τέθεισαι, τεθείσομαι, παρενθέσει τοῦ ομ. Τὰ δὲ αὐξάνοντα χρονικῶς καὶ τὰ ἔχοντα, στοιχεῖον τοῦ θέματος ἀμετάβολον, ταῦτα οὐ σχηματίζουσι μετ' ὀλίγον Μέλλοντα.

Τύπος Ά. τῶν εἰς ω Περισπωμένων.

ὉΡΙΣΤΙΚᾺ ἘΝΕΡΓΗΤΙΚΆ.

	ά.	β΄.	γ΄.
Ἐνεστὼς·	Ποι-έω, ῶ·	έεις, εῖς·	έει, εῖ.
		έετον, εῖτον.	έετον, εῖτον.
	έομεν, οῦμεν·	έετε, εῖτε.	έουσι, οῦσι.
Παρατατ.	Ἐποί-εον, ουν·	εες, εις,	εε, ει.
		έετον, εῖτον,	εέτην, είτην.
	έομεν, οῦμεν·	έετε, εῖτε·	εον, ουν.

Παρακ. Πεποίηκα. Ὑπερσ. Ἐπεποιήκειν. } σχηματίζονται καθὼς οἱ τοῦ Γράφω.
Μέλ. Ποιήσω. Ἀόρ. Ἐποίησα.

ΠΡΟΣΤΑΚΤΙΚΆ.

Ἐνεστ. καὶ Παρατ. Ποί-εε, ει. εέτω, είτω.
έετον, εῖτον· εέτων, είτων.
έετε, εῖτε· εέτωσαν. είτωσαν.

Παρ. καὶ ὑπ. Πεποίηκε. Ἀόρ. Ποίησον.

ΕΥ̓ΚΤΙΚΆ.

Ἐν. κ. παρ. Ποι-έοιμι, οῖμι· έοις, οῖς· έοι, οῖ.
έοιτον, οῖτον· εοίτην, οίτην.

	έοιμεν, οἶμεν· έοιτε,	οἶτε· έοιεν, οἶεν(α).	
Παρ. κ. ὑπερ.	Πεποιήκοιμι.	Μέλ.	Ποιήσοιμι.
Ἀόρ.	Ποιήσαιμι.	Αἰολ.	Ποιήσεια.

ὙΠΟΤΑΚΤΙΚΆ.

Ἐν. κ. παρ.	Ἐὰν ποι-έω, ῶ·	έῃς, ῇς·	έῃ, ῇ.
	- ...	έητον, ῆτον·	-, -.
	έωμεν. ῶμεν·	έητε, ῆτε·	έωσι, ῶσι.
Παρ. κ. ὑπ.	Ἐὰν Πεποιήκω.	Ἀόρ.	Ἐὰν ποιήσω.

ἈΠΑΡΈΜΦΑΤΑ.

Ἐνεϛ. καὶ παρατ.	ποι-έειν, εῖν.
Παρ. καὶ ὑπερσ.	πεποιηκέναι.
Μέλλων·	ποιήσειν.
Ἀόριϛος·	ποιῆσαι.

ΜΕΤΟΧΑΊ.

Ἐν. κ. παρ.	Ἀρσ.	ποι-έων, ῶν.	έοντος, οῦντος.
	Θηλ.	έουσα, οῦσα·	εούσης, ούσης.
	Οὐδ.	έον, οῦν,	έοντος, οῦντος.

(α) Διάλεκτοί τινες καὶ πρὸ πάντων ἡ Ἀλεξάνδρινὴ ἐσχημάτιζον τὸ μὲν τρίτον πληθυντικὸν τοῦ παρατατικοῦ τῆς Ὁριϛικῆς καὶ τῆς Εὐκτικῆς ἐπενθέσει τοῦ σα, οἷον ἐδολιοῦσαν, ἐφύγοσαν; ποιοῖσαν, ἀντὶ ἐδολίουν, ἔφυγον ποιοῖεν. Τὰ δὲ εἰς ασι τρίτα πληθυντικὰ τοῦ Ὁριϛικοῦ παρακειμένου εἰς αν, οἷον ἔγνωκαν, εἴρηκαν, πεποίηκαν, ἀντὶ ἐγνώκασιν, εἰρήκασι, πεποιήκασι.

ὉΡΙΣΤΙΚᾺ ΠΑΘΗΤΙΚΆ.

Ἐνεϛ.	Ποι-έομαι, οῦμαι·	έῃ,	ῇ·	έεται. εῖται.
	εόμεθον, ούμεθον·	έεσθον,	εῖσθον·	--, --.
	εόμεθα, ούμεθα·	έεσθε,	εῖσθε·	έονται, οῦνται.
Παρ.	Ἐποι-εόμην, ούμην·	έου,	οῦ·	έετο, εῖτο..
	εόμεθον, ούμεθον·	έεσθον,	εῖσθον·	εέσθην, είσθην.
	εόμεθα, ούμεθα·	έεσθε,	εῖσθε·	έοντο, οῦντο.

Παρακ.	Πεποίη-μαι,	σαι,	ται.
	μεθον,	σθον,	σθον.
	μεθα,	σθε,	νται.
Ὑπερσ.	Ἐπεποιή-μην,	σο,	το.
	μεθον,	σθον,	σθην.
	μεθα,	σθε,	ντο.

Μέλ.	Ποιηθήσομαι.	κατὰ τοὺς τοῦ
Ἀόρ.	Ἐποιήθην.	Γράφομαι.

ΠΡΟΣΤΑΚΤΙΚΆ.

Ἐνεϛ.	Ποι-έου,	οῦ·	εέσθω.	είσθω.
	έεσθον,	εῖσθον·	εέσθων,	είσθων.
	έεσθε,	εῖσθε·	εέσθωσαν,	είσθωσαν.

Παρ. κ. Ὑπ.	Πεποίη-σο,	σθω.
	σθον,	σθων.
	σθε,	σθωσαν.

Ἀόρ, Ποιήθη-τι, τω.

ΕὙΚΤΙΚΆ.

Ἐνεϛ. καὶ παρατ.

Ποι-εοίμην, οίμην·	έοιο, οῖο·	έοιτο, οῖτο.
εοίμεθον, οίμεθον·	έοισθον, οῖσθον·	εοίσθην, οίσθην.
εοίμεθα, οίμεθα·	έοισθε, οῖσθε·	έοιντο, οῖντο.

Παρ. κ. ὑπερ.	Πεποι-ήμην,	ῇο,	ῇτο.
	ήμεθον,	ῇσθον.	ήσθην.
	ήμεθα,	ῇσθέ,	ῇντο.

Μέλ. Ποιηθησοίμην. Ἀόρ. Ποιηθείην.

ὙΠΟΤΑΚΤΙΚΆ

Ἐνεϛ. καὶ Παρατ. Ἐὰν Ποι-έωμαι, ῶμαι κατὰ τὸ ὁριϛικὸν τροπῇ τοῦ ο εἰς ω καὶ τοῦ ε εἰς η καὶ συναιρέσει τοῦ έω εἰς ω καὶ τοῦ εη εἰς η.

Παρακ. καὶ ὑπερσ.

Πεποι-ῶμαι, ῇ, ῆται· ώμεθον, ῆσθον, -· ώμεθα, ῆσθε, ῶνται.
Ἀόρ. Ποιηθ-ῶ, ῇς, ῇ.

ἈΠΑΡΈΜΦΑΤΑ.

Ἐν. κ. παρ. Ποι-έεσθαι, εῖσθαι.	Μέλ. Ποιηθήσεσθαι.
Παρ. κ. ὑπ. Πεποιῆσθαι.	Ἀόρ. Ποιηθῆναι.

ΜΕΤΟΧΑΊ

Ἐνεσ. κ. παρ.	Ποι-εόμενος, ούμενος· εομένου, ουμένου.
	εομένη, ουμένη· εομένης, ουμένης.
	εόμενον, ούμενον· εομένου, ουμένου.
Παρ. κ. ὑπερ.	Πεποιημέν-ος, ου.
Μέλ-	Ποιηθησόμεν-ος, ου.
Ἀόρ.	Ποιηθ-εὶς, έντος.

Τύπος Β΄. τῶν Περισπωμένων.

ὉΡΙΣΤΙΚᾺ ἘΝΕΡΓΗΤΙΚΆ.

Ἐν.	Βο-άω, ῶ·	άεις,	ᾷς·	άει,	ᾷ.
		άετον,	ᾶτον·	άετον,	ᾶτον.
	άομεν, ῶμεν·	άετε,	ᾶτε·	άουσι,	ῶσι.
Παρατ.	Ἐβό-αον, ων·	αες,	ας·	αε,	α.
		άετον,	ᾶτον·	αέτην,	άτην.
	άομεν, ῶμεν·	άετε,	ᾶτε·	αον,	ων.

Παρακ.	Βεβόηκα.	Μέλ.	Βοήσω.
Ὑπερσ.	Ἐβεβοήκειν.	Ἀόρ.	Ἐβόησα.

ΠΡΟΣΤΑΚΤΙΚΑ

Ἐνεϛ. κ. παρ.	Βό-αε,	α·	αέτω,	άτω.
	άετον,	ᾶτον·	αέτων,	άτων.
	άετε,	ᾶτε·	αέτωσαν,	άτωσαν.

Παρ. κ. ὑπερσ. Βεϐόηκε. Ἀόρ. Βόησον.

ΕὙΚΤΙΚΑ.

Ἐνεϛ. καὶ παρατ.

Βο-άοιμι,	ῷμι·	άοις,	ῷς·	άοι,	ῷ.
		άοιτον,	ῷτον·	αοίτην,	ῴτην.
άοιμεν,	ῷμεν·	άοιτε,	ῷτε·	άοιεν,	ῷεν.

Παρ. κ. ὑπ. Βεϐοήκοιμι. Μέλ. Βοήσοιμι

Ἀόριϛ. Βοήσαιμι. Αἰολ. Βοήσεια.

ὙΠΟΤΑΚΤΙΚΑ.

Ἐν. κ. παρ. Βο-άω,	ῶ.	άῃς,	ᾷς·	άῃ,	ᾷ		
		άητον,	ᾶτον·	-,	-.		
άωμεν,	ῶμεν.	άητε,	ᾶτε.	άωσι,	ῶσι.		

Παραϰ. καὶ ὑπερ· Βεϐοήκω.

Ἀόριϛ. Βοήσω.

ἈΠΑΡΈΜΦΑΤΑ.

Ἐν. κ. παρ(α).	Βο-άειν, ᾷν.	παρκ. ὑπερ.	Βεβοηκέναι.
Μέλ.	Βοήσειν.	Ἀόρ.	Βοῆσαι.

ΜΕΤΟΧΑΊ

Ἐν. καί παρ.	Βο-άων,	ῶν.	άοντος,	ῶντος.
	άουσα,	ῶσα·	αούσης,	ώσης.
	άον,	ῶν·	άοντος,	ῶντος.

ὉΡΙΣΤΙΚᾺ ΠΑΘΗΤΙΚΆ.

Ἐνεστ.

Βο-άομαι,	ῶμαι·	άῃ,	ᾷ	άεται,	ᾶται.
αόμεθον,	ώμεθον·	άεσθον,	ᾶσθον·	–,	–.
αόμεθα.	ώμεθα·	άεσθε,	ᾶσθε·	άονται,	ῶνται.

Παρατ.

Ἐβο-αόμην,	ώμην·	άου,	ῶ·	άετο,	ᾶτο.
αόμεθον,	ώμεθον·	άεσθον,	ᾶσθον·	αέσθην,	άσθην.
αόμεθα,	ώμεθα·	άεσθε,	ᾶσθε·	άοντο,	ῶντο.

Π. Βεβόημαι. Ὑ. Ἐβεβοήμην. Ἀ. Ἐβοήθην Μ. Βοηθήσομαι.

(α) Τὸ παρὰ τῶν Ἀρχαίων ἀποῤῥιπτόμενον ι τὸ τοῖς ἀπαρεμφάτοις τῶν εἰς αω ὑπογραφόμενον, παρὰ τῶν νεωτέρων παραλαμβάνεται· ἔτι τὸ ζῆν. πεινῆν, διψῆν τρέπουσι τὸ ᾳ εἰς ῃ Δωρικῶς.

ΠΡΟΣΤΑΚΤΙΚΑ.

Ἐν. κ. παρ.	Βο-άου,	ῶ·	αέσθω,	άσθω.
	άεσθον,	ᾶσθον·	αέσθων,	άσθων.
	άεσθε,	ᾶσθε·	αέσθωσαν,	άσθωσαν.

Παρ. κ. ὑπ. Βεβόησο. Ἀόρ. Βοήθητι.

ΕΥΚΤΙΚΑ

Ἐν. καὶ παρ.

Βο-αοίμην,	ῴμην·	άοιο,	ῷο·	άοιτο,	ῷτο.
αοίμεθον,	ῴμεθον·	άοισθον,	ῷσθον,	αοίσθην,	ῴσθην.
αοίμεθα,	ῴμεθα·	άοισθε,	ῷσθε·	άοιντο,	ῷντο.

Παρ, κ. ὑπ. Βεβο-ήμην, ῇο, ῇτο. κ. τ. λ.

Μέλ. Βοηθησοίμην. Ἀόρ. Βοηθείην.

ΥΠΟΤΑΚΤΙΚΑ.

Ἐν. καὶ παρ. Βο-άωμαι, ῶμαι· κατὰ τὸ ὁριστικὸν τροπῇ τοῦ ο εἰς ω καὶ τοῦ ε εἰς η.

Παρ. κ. ὑπ. Βεβο-ῶμαι, ῇ, ῆται. Ἀόρ. Βοηθῶ

ἈΠΑΡΕΜΦΑΤΑ.

Ἐ. κ. π. Βο-άεσθαι, ᾶσθαι. Π. κ. ὑ. Βεβοῆσθαι,

Μέλ. Βοηθήσεσθαι Ἀόρ. Βοηθῆναι.

ΜΕΤΟΧΑΙ.

Ἐν, κ. παρ.	Βο-αόμενος, ώμένος· αομένου, ωμένου.	
	αομένη, ωμένη· αομένης, ωμένης.	
	αόμενον, ώμενον· αομένου, ωμένου.	

Τύπος Γ′ τῶν Περισπωμένων,

ΟΡΙΣΤΙΚΑ ΕΝΕΡΓΗΤΙΚΑ.

Ἐνεσ.

Χρυσ-όω.	ῶ	όοις,	οῖς·	όοι,	οῖ.
		όετον,	οῦτον·	όετον,	οῦτον.
όομεν,	οῦμεν·	όετε,	οῦτε·	όουσι,	οῦσι.

Παρατ.

Ἐχρύσ-οον,	ουν·	οες,	ους·	οε,	ου.
		όετον.	οῦτον,	οέτην,	ούτην.
όομεν,	οῦμεν·	όετε,	οῦτε·	οον,	ουν.

Παρ.	Κεχρύσωκα.	Μέλ.	Χρυσώσω.	ὡς οἱ τοῦ
Ὑπ.	Ἐκεχρυσώκειν.	Ἀόρ.	Ἐχρύσωσα.	Γράφω.

ΠΡΟΣΤΑΚΤΙΚΑ.

Ἐν κ. παρ. Χρύσ-οε, ου· οέτω, ούτω· όετον, οῦτον, οέτην, ούτην· όετε, οῦτε· οέτωσαν, ούτωσαν.

Παρακ. κ. ὑπ. Κεχρύσωκε. Ἀόρ. Χρύσωσον.

ΕΥ̓ΚΤΙΚΆ.

Ἐνεϛ. καὶ παρατ.

Χρυσ-όοιμι (α), οῖμι· όοις, οῖς· όοι, οῖ.
όοιτον, οῖτον· οοίτην, οίτην.
όοιμεν, οῖμεν· όοιτε, οῖτε· όοιεν, οῖεν.
Παρ. κ. ὑπ. Κεχρυσώκοιμι Μέλ. Χρυσώσοιμι.
Ἀόρ. Χρυσώσαιμι. Αἰολ, Χρυσώσεια.

ὙΠΟΤΑΚΤΙΚΆ

Ἐν. κ, π. Ἐὰν Χρυσ-όω, ῶ· όης, οῖς· όῃ, οῖ.
όητον, ῶτον· -, -.
όωμεν, ῶμεν· όητε, ῶτε· όωσι, ῶσι.

ἈΠΑΡΈΜΦΑΤΑ.

Ἐνεϛ. καὶ παρατ. Χρυσ-όειν, οῦν.
Π. κ. ὑπ. Κεχρυσωκέναι. Μέλ, Χρυσώσειν, Ἀόρ. Χρυσῶσαι.

ΜΕΤΟΧΑΊ.

Ἐνεϛ.

Ἀρσ	Χρυσ-όων,	ῶν·	όοντος,	οῦντος.
Θηλ.	όουσα,	οῦσα·	οούσης,	ούσης.
Οὐδ.	όον,	οῦν·	όοντος,	οῦντος.

(α) Οἱ Ἀττικοὶ τὸ μι τῶν συνηρημένων εὐκτικῶν τρέποντες εἰς ην σχηματίζουσι τὰ εὐκτικὰ, οἷον ποιοίην, βοῴην, χρυσοίην, καὶ χρυσῴην, Δωρικῶς. Τὸ αὐτὸ δὲ συμβαίνει καὶ τῷ λεγομένῳ δευτέρῳ μέλλοντι, ὡς ὄντι συνηρημένῳ ἐνεςῶτι. οἷον ψαλοίην. Καὶ ἐκ τῶν βαρυτόνων μόνον τὸν Παρακείμενον, οἷον γεγραφοίην, γεγραφοίης, γεγραφοίη.

Παρ. ὑπ. κεχρυσωκώς. Μ. Χρυσώσων. Ἀ. Χρυσώσας

ὉΡΙΣΤΙΚᾺ ΠΑΘΗΤΙΚΆ.

Ἐνεϛ.

Χρυσ-όομαι,	οῦμαι·	όῃ,	οῖ.	όεται.	οῦται.
οόμεθον,	ούμεθον·	όεσθον,	οῦσθον·	όεσθον,	οῦσθον.
οόμεθα,	ούμεθα·	όεσθε,	οῦσθε·	όονται,	οῦνται.

Παρατ.

Ἐχρυσ-οόμην,	ούμην·	όου,	οῦ.	όετο,	οῦτο.
οόμεθον,	ούμεθον·	όεσθον,	οῦσθον.	οέσθην,	ούσθην.
οόμεθα,	ούμεθα.	όεσθε,	οῦσθε.	όοντο,	οῦντο.

Παρ.	Κεχρύσωμαι.	Ὑπ.	Ἐκεχρυσώμην.
Ἀόρ.	Ἐχρυσώθην.	Μέλ.	Χρυσωθήσομαι.

ΠΡΟΣΤΑΚΤΙΚΆ.

Ἐν. κ. παρ.	Χρυσ-όου,	οῦ.	οέσθω,	ούσθω.
	όεσθον,	οῦσθον·	οέσθων,	ούσθων.
	όεσθε,	οῦσθε·	οέσθωσαν,	ούσθωσαν.

Παρ. κ. ὑπ. κεχρύσωσο. Ἀόρ. Χρυσώθητι.

ΕΥ̓ΚΤΙΚΆ.

Ἐν. κ. παρ.

Χρυσ-οοίμην,	οίμην·	όοιο,	οῖο·	όοιτο,	οῖτο.
οοίμεθον,	οίμεθον·	όοισθον,	οῖσθον·	οοίσθην,	οίσθην·
οοίμεθα,	οίμεθα·	όοισθε,	οῖσθε,	όοιντο,	οῖντο.

Π. κ. ὑ. κεχρυσωμένος. Μ. χρυσωθησόμενος. Ἀ. χρυσωθείς.

	Παρ. κ. ὑπερ.	
Κεχρυσ-ώμην,	ῶο,	ῶτο.
ώμεθον,	ῶσθον,	ώσθην.
ώμεθα,	ῶσθε,	ῶντο.

Μέλ. Χρυσοθησοίμην. Ἀόρ. Χρυσοθείην.

ὙΠΟΤΑΚΤΙΚΑ.

Ἐνεϛ. καὶ παρατ.

Ἐὰν Χρυσ-όωμαι, ῶμαι· όῃ, οῖ· όηται, ῶται.
οώμεθον, ώμεθον· όησθον, ῶσθον· -, -.
οώμεθα, ώμεθα· όησθε, ῶσθε· όωνται, ῶνται.

Π. κ. ὑ. Κεχρυσ-ῶμαι, ῷ, ῶται.
ώμεθον, ῶσθον. - .
ώμεθα, ῶσθε, ῶνται. Ἀόρ. Χρυσωθῶ.

ἈΠΑΡΈΜΦΑΤΑ.

Ἐν. κ. π. Χρυσ-όεσθαι, οῦσθαι. Π. κ. ὑπ. κεχρυσῶσθαι.
Μέλ. Χρυσωθήσεσθαι. Ἀόρ. Χρυσωθῆναι.

ΜΕΤΟΧΑΊ.

Ἐν. κ. παρ. Χρυσ-οόμενος, ούμενος· οομένου, ουμένου.
οομένη, ουμένη· οομένης, ουμένης.
οόμενον, ούμενον· οομένου, ουμένου(α).

(α) Α καὶ ω, α καὶ ο, α καὶ ου, ε καὶ ω, ο καὶ η, ο καὶ ω συναιροῦνται εἰς ω. α καὶ ε, α καὶ η, εἰς α. ε καὶ ε, ε καὶ ει, εἰς ει. ε καὶ η, εἰς η. ε καὶ ο, ε καὶ ου, ο καὶ ε, ο καὶ ο, ο καὶ ου, εἰς ου· ο καὶ ει, ο καὶ ῃ, ο καὶ οι, εἰς οι.

Τῆς Ά Συζυγίας τῶν εἰς μι

Τύπος Ά.

ὉΡΙΣΤΙΚᾺ ἘΝΕΡΓΗΤΙΚᾺ

Ἐνεστώς.

Τίθ-ημι, ης, ησι· ετον, ετον· εμεν, ετε, εῖσι καὶ έασι.

Παρατατικός.

Ἐτίθ-ην, ης, η· ετον, έτην· εμεν, ετε, εσαν· καὶ κατὰ συγκοπὴν τοῦ τι: οἷον,
Ἔθην, ης, η· ετον, έτην· εμεν, ετε, εσαν.

Π. Τέθεικα. Ὑπ. Ἐτεθείκην, Μ. Θήσω. Ἀ: Ἔθηκα.

ΠΡΟΣΤΑΚΤΙΚᾺ

Ἐνεσ. καὶ παρατ.

Τίθε-τι, τω· τον, των· τε, τωσαν· καὶ ἀφαιρέσει τοῦ τι: οἷον, Θέτι ἢ θὲς, θέτω.

ΕΥ̓ΚΤΙΚᾺ

Ἐνεσ. καὶ Παρατ.

Τιθ-είην, είης, είη· είητον, ειήτην· είημεν, είητε, είησαν καὶ εῖεν· καὶ ἀφαιρέσει τοῦ τι Θείην.

ὙΠΟΤΑΚΤΙΚΆ.

Ἐν. κ. παρ. τιθ-ῶ, ῇς, ῇ· ἦτον, ἦτον· ὦμεν, ἦτε, ὦσι· καὶ ἀφαιρέσει τοῦ τι: Θῶ, θῇς, θῇ.

ἈΠΑΡΈΜΦΑΤΑ.

Ἐνεϛ. καὶ παρατ. τιθέναι· καὶ ἀφαιρέσει τοῦ τι, καὶ ἐπενθέσει τοῦ ι: Θεῖναι.

ΜΕΤΟΧΑΊ.

Ἐν. κ. παρ. Τιθ-εὶς, έντος· εῖσα, είσης· ὲν, έντος· καὶ ἀφαιρέσει: Θεὶς, έντος.

ὉΡΙΣΤΙΚᾺ ΠΑΘΗΤΙΚΆ.

Ἐνεϛ.

Τίθε-μαι, σαι(α), ται· μεθον, σθον, σθον· μεθα, σθε, νται.

(α) Ὁ εἰς σαι καὶ σο ἀρχαῖος σχηματισμὸς τῶν παθητικῶν δευτέρων προσώπων σώζεται ἐν μόνῳ τῷ παρακειμένῳ καὶ ὑπερσυντελικῷ τῶν βαρυτόνων καὶ περισπωμένων, ἐπὶ δὲ τῶν εἰς μι, καὶ ἐν τῷ ἐνεϛῶτι καὶ παρατατικῷ. ἐκ τούτου τοῦ ἀρχαίου σχηματισμοῦ ἐκβολῇ τοῦ σ καὶ συναιρέσει τοῦ εαι εἰς η γίνεται τὸ κοινὸν δεύτερον οἷον γράφεσαι, γράφεαι, γράφῃ, πλὴν τοῦ βούλει, οἴει, ὄψει· Ἀττικὰ γὰρ τὰ τοιαῦτα· ὥϛε τὸ βούλῃ, οἴῃ, ὄψῃ λαμβάνονται μόνον ἀντὶ τῶν ὑποτακτικῶν. καὶ ἐγραφόμην, ἐγράφεσο, ἐγράφεο, καὶ ἐγράφου.

Παρατ.

Ἐτιθ-έμην, εσο, ετο· έμεθον, εσθον, έσθην· έμεθα, εσθε, εντο· καὶ κατὰ συγκοπὴν: Ἐθέμην.

Παρακ. τέθειμαι. Ὑπερσ. Ἐτεθείμην. Ἀόρ. Ἐτέθην (α).
Μέλ. τεθήσομαι.

ΠΡΟΣΤΑΚΤΙΚΆ

Ἐνες. κ. παρατ. τίθ-εσο καὶ ου, έσθω· εσθον, έσθων· εσθε, έσθωσαν καὶ έσθων. καὶ Θέσο καὶ θοῦ.

ΕΥ̓ΚΤΙΚΆ.

Ἐν. καὶ παρ. τιθεί-μην, εῖο, εῖτο· μεθον, σθον, σθην· μεθα, σθε, ντο· καὶ Θείμην.

ὙΠΟΤΑΚΤΙΚΆ.

Ἐνες. κ. παρατ, τιθ-ῶμαι, ῇ, ῆται· ώμεθον, ῆσθον, ῆσθον· ώμεθα, ῆσθε, ῶνται· καὶ Θῶμαι.

ἈΠΑΡΈΜ. Ἐνες. καὶ παρ. Τίθεσθαι καὶ Θέσθαι.

ΜΕΤΟΧΑΊ

Ἐν. κ. παρ. τιθέμεν-ος, ου· η, ης· ον, ου. καὶ Θέμενος.

(α) Ἀντὶ ἐθέθην, καὶ τροπῇ τοῦ θ εἰς τ ἐτέθην, ὅτι οὐχ εὕρηνται δύο ἄμεσοι συλλαβαὶ ἐν τῇ αὐτῇ λέξει διὰ τοῦ αὐτοῦ δασέος ἐκφερομεναι· ἐὰν δὲ εὑρεθῶσι, τρέπεται τὸ τῆς προτέρας εἰς τὸ ἀντίςοιχον ψιλόν.

Τύπος Β' τῶν εἰς μι.

ὉΡΙΣΤΙΚᾺ ἘΝΕΡΓΗΤΙΚΆ.

Ἐνεσ. Ἵσ-ημι, ης, ησι· ατον, ατον· αμεν, ατε, ᾶσι.

Παρατ. Ἵσ-ην, ης, η· ατον, άτην· αμεν, ατε, ασαν· καὶ τροπῇ τοῦ ι δασυνομένου εἰς ε ψιλούμενον, καὶ τοῦ α εἰς η.

Ἕσ-ην, ης, η· ητον, ήτην· ημεν, ητε, ησαν,

Παρακ. Ἕσακα. Ὑπ. Ἑσάκειν. Μ. Στήσω. Ἀόρ. Ἕστησα.

ΠΡΟΣΤΑΚΤΙΚΆ.

Ἐν. κ. παρ. Ἵσ-αθι, άτω· ατον, άτων· ατε, άτωσαν· καὶ Στῆθι, στήτω· τὸ δὲ Στὰ, στάτω ἀεὶ ἐν συνθέσει εὕρηται: οἷον, ἀνάστα, παράστα.

ΕὙΚΤΙΚΆ.

Ἐν. κ. παρ. Ἱσταί-ην, ης, η· ητον, ήτην· ημεν, ητε, ησαν καὶ εν· καὶ Σταίην.

ὙΠΟΤΑΚΤΙΚΆ.

Ἐν. κ. παρ. Ἱσ-ῶ, ᾷς, ᾷ· ᾶτον, ᾶτον· ῶμεν, ᾶτε, ῶσι. καὶ Στῶ, ῇς, ῇ.

ἈΠΑΡΈΜΦΑΤΑ.

Ἐνεσ. κ. παρατ. Ἱστάναι καὶ Στῆναι.

ΜΕΤΟΧΑΊ.

Ἐν. κ, παρ. Ἱσ-ὰς, άντος· ᾶσα, άσης. ὰν, άντος· καὶ Στάς.

ὉΡΙΣΤΙΚᾺ ΠΑΘΗΤΙΚΆ.

Ἐν. Ἵσα-μαι, σαι, ται· μεθον, σθον, -· μεθα, σθε, νται

Παρατ.

Ἱσά-μην, σο καὶ ἵσω, το. μεθον, σθον, σθην· μεθα, σθε, ντο.

Π. Ἕσαμαι. Ὑπ. Ἑσάμην. Μ. Σταθήσομαι. Ἀόρ. Ἐσάθην.

ΠΡΟΣΤΑΚΤΙΚΆ.

Ἐν. κ. παρ. Ἵσα-σο, καὶ ω, σθω· σθον, σθων· σθε, σθωσαν.

Παρ. κ. ὑπ. Ἕσα-σο, σθω. Ἀόρ. Στάθητι.

ΕΥ̓ΚΤΙΚΆ.

Ἐν. κ· παρ. Ἱσαί-μην, ο, το· μεθον, σθον, σθην· μεθα,

σθε, ντο.

ὙΠΟΤΑΚΤΙΚΆ.

Ἐν. κ. παρ. Ἱς-ῶμαι, ᾷ, ᾶται· ώμεθον, ᾶσθον, -· ώμεθα, ᾶσθε, ῶνται. Παρ. κ. ὑπ. Ἐςῶμαι. Ἀόρ. Σταθῶ.

ἈΠΑΡΈΜΦΑΤΑ.

Ἐν. κ. παρ. Ἵςασθαι. Παρ. κ. ὑπ. Ἐςᾶσθαι.
Μέλ. Σταθήσεσθαι. Ἀόρ· Σταθῆναι.

ΜΕΤΟΧΑΊ.

Ἐν. κ· παρ. Ἱςάμεν-ος, ου· η, ης· ον, ου.

Π. κ. ὑπ. Ἐςάμενος. Μ. Σταθησόμενος. Ἀόρ. Σταθείς.



Τύπος Γ′ τῶν εἰς μι.

ὉΡΙΣ. ἘΝΕΡ(α).

Ἐνες. Δίδ-ωμι, ως, ωσι· οτον, οτον· ομεν, οτε, οῦσι καὶ όασι(ϐ).

(α.) Ὅσα τῶν εἰς έω, άω όω συναιροῦνται, δισύλλαϐα μὲν ὄντα σχηματίζουσι ῥῆμα εἰς μι ἀμειϐῆ τοῦ ω εἰς μι καὶ τροπῇ τῆς βραχείας παραληγούσης εἰς μακρὰν καὶ προσθέσει τοῦ δασυνομένου ι καὶ τοῦ ἀρκτικοῦ συμφώνου ἑνὸς μόνου ὄντος, ὅπερ Ἀναδιπλασιασμὸς καλεῖται· ἄλλως δὲ προσθέσει μόνου τοῦ δασυνομένου ι· οἷον θέω, τίθημι· δόω, δίδομι· ςάω, ἵςημι· ἕω, ἵημι· πλὴν τοῦ φημὶ μηδὲν προσλαμϐάνοντος, καὶ τοῦ ἔςην Παρατατικοῦ ἀντὶ ἀορίςου προσλαμϐάνοντος ε ψιλούμενον ἀντὶ ι δασυνομένου. Ὑπερδισύλλαϐα δ᾽ οὔ, εἰμὴ κατὰ διάλεκτον ὡς καὶ τὰ μὴ συναιρούμενα δισύλλαϐα, οἷον σϐέω, σϐῆμι· ὀνέω, ὄνημι. Τὰ δὲ εἰς υω δισύλλαϐα καὶ ὑπερδισύλλαϐα σχηματίζουσιν εἰς μι ἀμοιϐῇ τοῦ ω εἰς μι καὶ ἐκτάσει τῆς παραληγούσης, οἷον δύω δῦμι· ζευγνύω, ζεύγνυμι.

(ϐ) 1. Τὸ ἐν τοῖς ὁριςικοῖς ἑνικοῖς προσώποις τῶν εἰς μι παραληκτικὸν μακρὸν φωνῆεν μεταϐάλλεται εἰς τὸ τοῦ πρωτοτύπου βραχὺ ἐν μὲν τοῖς ἐνεργητικοῖς τῆς Ὁριςικῆς ἐν τῷ Δυϊκῷ καὶ Πληθυντικῷ· ἐν δὲ ταῖς ἄλλαις Ἐγκλίσεσί καὶ ἐν τοῖς παθητικοῖς ἐν παντὶ ἀριθμῷ. ἐξαιρεῖται ὁ ἀντὶ ἀορίςου παρατατικὸς τῶν ἀπὸ τοῦ αω καὶ υω δισυλλάϐων μακροκαταλήκτων ἔντε τῷ Δυϊκῷ καὶ Πληθυντικῷ, οἷον ἔςην, ἔςητον, ἔςημεν· ἔδυν, ἔδυτον, ἔδυμεν. καὶ τὸ δίζημαι καὶ ἀκίχημαι· καὶ οἱ κατὰ συγκοπὴν Ἐνες. καὶ Παρατατ. τῶν ἀπαρεμφάτων ἀντὶ ἀορίςων λαμϐανόμενοι, οἷον θεῖναι, ςῆναι, δοῦναι, οἵτινες τρέπουσι τὸ α εἰς η, ἢ προσλαμϐάνουσι πρὸς μὲν τῷ ε τὸ ι πρὸς δὲ τῷ ο τὸ υ.

2. Τὰ πληθυντικὰ τρίτα τοῦ ἐνεργητικοῦ ἐνεςῶτος τῶν εἰς μι σχηματίζεται τῷ κοινῷ πληθυντικῷ τρίτῳ, ἢ προσθέσει τοῦ α ἀχρήςῳ ὄντι, ἢ συναιρέσει τοῦ μὲν εα εἰς ει, οἷον τίθεσι, τιθέασι, καὶ συναιρέσει τιθεῖσι· πλὴν τοῦ ἱέασι, ἱεῖσι καὶ ἱᾶσι δασυνομένου, καὶ ἰέασι, ἴασι, ψιλουμένου· τὸ μὲν

Παρ. Ἐδίδ-ων(γ), ως, ω καὶ ου· οτον, ότην· ομεν, οτε, οσαν· καὶ Ἔδων.

Παρ. Δέδωκα. Ὑπ. Ἐδεδώκειν. Μ. Δώσω. Α. Ἔδωκα.

ΠΡΟΣΤΑΚΤΙΚΑ΄

Ἐνεϛ. κ. παρατ. Δίδο-θι, τω· τον, των· τε, τῶσαν· καὶ Δόθι ἢ Δός.

ΕΥ̓ΚΤΙΚΑ΄.

Ἐν. κ. παρ. Διδ-οίην, οίης, οίη· οίητον, οιήτην· οίημεν, οίητε, οίησαν· καὶ οἶεν· καὶ Δοίην.

Υ̓ΠΟΤΑΚΤΙΚΑ΄

Ἐν. κ. παρ. Διδ-ῶ, ῷς, ῷ· ῶτον, ῶτον· ῶμεν, ῶτε, ῶσι. καὶ Δῶ.

γὰρ δασυνόμενον συναιρεῖται εἰς ει καὶ α, τὸ δὲ ψιλούμενον συγκόπτεται τοῦ δὲ αα εἰς α, οἷον ἵςασι, ἱςάασι καὶ ἱςᾶσι· πλὴν τοῦ ἴσασιν ἀπὸ τοῦ ἰσάασι κατὰ συγκοπήν· τοῦ δὲ οα εἰς ου, οἷον δίδοσι, διδόασι καὶ διδοῦσι· τοῦ δὲ υα εἰς υ μακρόν. ζεύγνυσι, ζευγνύασι καὶ ζευγνῦσι.

(γ) Ὁ μὲν παρατατικὸς τοῦ τίθημι ἐςὶ δύσχρηςος ἐν τῷ ἑνικῷ τῆς ὁριςικῆς· ὅθεν μεταλαμβάνεται πολλάκις ὁ παρατατικὸς τῶν περισπωμένων, οἷον ἐτίθ-ουν, -εις, -ει· ἐδίδ-ουν, ἐδίδ-ους, ἐδίδ-ου· ὁμοίως καὶ τὸ ἐδείκνυ-ον, ες, ε, ἀντὶ ἐδείκνυν. ἐζεύγνυ-ον, ες, ε ἀντὶ ἐζεύγνυν. Οἱ δὲ κατὰ συγκοπὴν παρατατικοὶ ἀντὶ Ἀορίςων, οἷον ἔθην, ἔδυν κατὰ μὲν τὸν ἑνικὸν ἀριθμὸν τῆς ὁριςικῆς οὐκ εἰσὶν εὔχρηςοι, κατὰ δὲ τοὺς λοιποὺς ἀριθμοὺς καὶ ἐγκλίσεις εἰσὶ πάνυ εὔχρηςοι.

ἈΠΑΡΈΜΦΑΤΑ.

Ἐν, κ. παρ. Διδόναι καὶ Δοῦναι.

ΜΕΤΟΧΑΊ.

Ἐν κ. παρ. Διδ-οὺς, όντος· οῦσα, ούσης· ὸν, όντος· καὶ Δούς.

ὉΡΙΣΤΙΚᾺ ΠΑΘΗΤΙΚΆ.

Ἐν. Δίδ-ομαι, οσαι, οται· όμεθον, οσθον, οσθον· όμεθα, οσθε, ονται.

Παρ. Ἐδιδ-όμην, οσο καὶ ου, οτο· όμεθον, οσθον, όσθην· όμεθα, οσθε, οντο.

Π. Δέδομαι. Ὑπ. Ἐδεδόμην. Μ. Δοθήσομαι. Ἀόρ. Ἐδόθην.

ΠΡΟΣΤΑΚΤΙΚΆ.

Ἐν. κ. παρ. Δίδ-οσο καὶ ου, όσθω· οσθον, όσθων· οσθε, όσθωσαν· καὶ Δόσο καὶ Δοῦ.

ΕὐΚΤΙΚΆ.

Ἐν. κ. παρ. Διδοί-μην, ο, το· μεθον, σθον, σθην· μεθα, σθε, ντο· καὶ Δοίμην.

ὙΠΟΤΑΚΤΙΚΆ.

Ἑν. κ. παρ. Διδ-ῶμαι. ῷ, ῶται· ώμεθον, ῶσθον, ῶσθον· ώμεθα, ῶσθε, ῶνται· καὶ Δῶμαι.

ἈΠΑΡΈΜ. Ἑν. κ. παρ. Δίδοσθαι καὶ Δόσθαι.

ΜΕΤΟΧΑΊ.

Ἑν. κ. παρ. Διδόμεν-ος, ου· η, ης· ον, ου· καὶ Δόμενος.

Τύπος Δ′ τῶν εἰς μι (α).

ὉΡΙΣΤΙΚᾺ ἘΝΕΡΓΗΤΙΚΆ.

Ἑν. Ζεύγν-υμι, υς, υσι· υτον, -· υμεν, υτε, ύατε καὶ ῦσι.

(α) Τὰ εἰς υμι σχηματίζουσι τὸ εὐκτικὸν καὶ ὑποτακτικὸν ἐκ τοῦ εἰς υω πρωτοτύπου, οἷον ζευγνύοιμι, ἐὰν ζευγνύω· πλὴν τοῦ δαίνυτο, πήγνυτο, σκεδάνυτο. Ἐπὶ πᾶσι τούτοις παρατηρητέον, ὅτι τὰ περισπώμενα καὶ εἰς μι μόνον δύο χρνους κέκτηνται, οἷον ἐνεςῶτα καὶ Παρατατικὸν, οἱ δὲ λοιποὶ τέσσαρές εἰσι τῶν πρωτοτύπων βαρυτόνων, οἷον τοῦ ποιέω, βοάω, χρυσόω, θέω, ςάω, δόω, ζευγνύω.

Τὰ εἰς νυω ἢ νυμι παράγωγα πρὸ τοῦ τοιούτου σχηματισμοῦ προκειμένου φωνήεντος, διπλασιάζουσι τὸ ν Καὶ εἴ ἐςι τὸ ἐν τῷ πρωτοτύπῳ ςοιχεῖον τοῦ θέματος ο μικρὸν, τρέπουσιν εἰς ω μέγα, οἷον σκεδάω, σκεδαννύω καὶ σκεδάννυμι· χόω, χωννύω, καὶ χώννυμι. Συμφώνου δὲ προκειμένου, οὐ διπλασιάζουσιν, οἷον ζευγνύω, ζεύγνυμι.

Παρ. Ἐζεύγν-υν, υς, υ· υτον, ύτην· υμεν, υτε, υσαν.

ΠΡΟΣΤ. Ζεύγνυ-θι, τω· τον, των· τε, τωσαν.

ἈΠΑΡΈΜΦ. Ἐν. Ζευγνύναι.

ΜΕΤ. Ἐν. κ. παρ. Ζευγν-ὺς, ύντος· ῦσα,ύσης· ὺν, ύντος.

ὉΡΙΣ. ΠΑΘ.

Ἐν. Ζεύγνυ-μαι ,σαι, ται· μεθον, σθον, σθον· μεθα, σθε, νται.

Παρ. Ἐζευγνύ-μην, σο, το· μεθον, σθον ,σθην· μεθα, σθε, ντο.

Προς. Ἐν. κ. Παρ. Ζεύγνυ-σο, σθω· σθον, σθων· σθε, σθωσαν.
Ἀπαρεμ. Ἐν. κ. Παρ. Ζεύγνυσθαι.

Μετοχαί.

Ἐν. κ. παρ. Ζευγνύμεν-ος, ου. η, ης. ον, ου.



Ῥῆμα Οὐδέτερον Ὑπαρκτικόν.

Ἐν. Εἰμὶ, εἶ, ἐςί· ἐςὸν, ἐςόν· ἐσμὲν, ἐςὲ, εἰσί.

Παρ. κ. π. Ἦν, ἦς, ἦ καὶ ἦν· ἦτον, ἤτην· ἦμεν, ἦτε, ἦσαν.

Ὑπ. Ἤμην, ἦσο, ἦτο· ἤμεθον, ἦσθον καὶ ἦςον, ἤσθην καὶ ἤςην· ἤμεθα, ἦσθε, ἦντο.

Μ, Ἔσ-ομαι. η, εται καὶ ται· όμεθον. εσθον, εσθον· όμεθα, εσθε, ονται.

Προς. Ἐν. κ. Παρ. Ἔσο καὶ ἴσθι, ἔςω. ἔςον, ἔςων. ἔςε, ἔςωσαν κ. ἔςων.

Ἐυκτ. Ἐν. κ. Παρ. Εἴ-ην, ης, η. ητον, ήτην. ημεν, ητε, ησαν κ. εν.

Μ. Ἐσοίμην, ἔσοιο, ἔσοιτο.

Ὑποτ. Ἐν. κ. Παρ. Ὦ, ᾖς, ᾖ. ἦτον, ἦτον· ὦμεν, ἦτε, ὦσι.

Ἀπαρεμ. Εἶναι. Μ. Ἔσεσθαι

Μετοχ Ἐν. κ. Παρ. Ὢν, ὄντος. οὖσα, οὔσης. ὂν, ὄντος.

Μ. Ἐσόμεν-ος, ου. η, ης. ον, ου.

Εἶμι τὸ πορεύομαι

Διαθέσεως Οὐδετέρας.

Ὁριστικά.

Ἐν. Εἶμι, εἶς κ. εἶ, εἶσι. ἴτον, ἴτον. ἦμεν, ἴτε, ἴασι καὶ ἶσι.

Ὑπ. ἀντὶ παρατ. Ἤιειν, ᾔεις, ᾔει. ᾔειτον, ᾐείτην. ᾔειμεν, ᾔειτε, ᾔεισαν καὶ ᾔεσαν.

Παρατ. ἀντὶ Ἀορ. Ἶον κατὰ συγκοπὴν ἐκ τοῦ Ἰέω, Ἴεον (ἐξ οὗ τὸ Ἵημι) ἴες, ἴε· ἴετον, ἰέτην· ἴεμεν, ἴετε, ἴον· καὶ κατὰ συγκοπὴν ἴμεν, ἴτε, ἴον.

Προς. Ἴθι, ἴτω· ἴτον, ἴτων· ἴτε ἴτωσαν. Ἢ ἴε καὶ εἶ, ἰέτω· ἴετον, ἰέτων· ἴετε, ἰέτωσαν.

Εὐκτ. Ἴοιμι, ἴοις, ἴοι· ἴοιτον, ἰοίτην· ἴοιμεν, ἴοιτε, ἴοιεν. καὶ Ἰοίην, ης, κ. τ. λ.

Ὑποτ. Ἐὰν Ἴω, ἴῃς, ἴῃ· ἴητον, ἴητον· ἴωμεν, ἴητε, ἴωσι.

Ἀπαρέμφ. Ἰέναι.

Μετοχ. Ἰών, ἰόντος· ἰοῦσα, ἰούσης· ἰόν, ἰόντος.

Τὸ δὲ Ἵεμαι, ἵεσαι καὶ παρατ. Ἱέμην, ἵεσο ἐκ τοῦ Ἱέω· ὁ δὲ Μέσος Μ. Εἴσομαι· καὶ Μέσ. ἀόρ. Εἰσάμην ἐκ τοῦ Εἴω.

Τὸ δὲ δασυνόμενον Ἵημι τὸ πέμπω, και Ἵεμαι σχηματίζονται κατὰ τὸ τίθημι, τίθεμαι· πλὴν τοῦ γ', πληθυντικοῦ συναιρουμένου εἰς ει και εἰς α: οἷον,

Ἵημι, ἵης, ἵησι· ἵετον, -· ἵεμεν, ἵετε, ἱεῖσι και ἱᾶσι.

Π. Ἵην. ἵης, ἵη· ἵετον ἱέτην· ἵεμεν, ἵετε, ἵεσαν. και Ἵεον, ἵουν· ἵεες, ἵεις· ἵεε, ἵει.

Παρακ. Εἷκα, εἷκας, εἷκε· εἵκατον, εἵκατον· εἵκαμεν, εἵκατε, εἵκασι.

Αόρ. Ἧκα, ἧκας, ἧκε· ἥκατον, ἡκάτην· ἥκαμεν, ἥκατε, ἧκαν. Και ἧν, ἧς; ἧ· ἕτον, ἕτην· ἕμεν, ἕτε, ἕσαν. ἐκ τοῦ παρατ. ἀφαιρέσει τοῦ ι.

Τὸ δὲ ἵον, ἵες, ἵε ἐκ τοῦ ἵεον κατὰ συγκοπήν.

Μ. Ἥσω, ἥσεις, ἥσει.

Προς. ἐν. κ. π. Ἵεθι και ἵει, ἱέτω· και ἀφαιρέσει τοῦ ι. ἕς, ἕτω, τροπῇ τοῦ θ εἰς σ.

Εὐκτ. Ἱείην, καὶ εἵην. Ὑποτ. Ἐὰν Ἱῶ και ὧ.

Απαρ. Ἱέναι και εἶναι. Μετ. Ἱεὶς καὶ εἵς.

Παθητ. Ἵεμαι, ἵεσαι, ἵεται· παρ. Ἱέμην, ἵεσο, ἵετο.
Παρακ. Εἷμαι. ὑπ. Εἵμην. ἀόρ. Ἕθην και εἵθην και ἕμην, ἕσο, ἕτο ἐκ τοῦ παρατ. Ἱέμην ἀφαιρέσει τοῦ ι

Ταῦτα οὖν συντιθέμενα μετὰ τῶν προθέσεων γίνονται

Ἀφίημι. π. ἀφίην. και ἠφίην. και ἀφίουν, μ. ἀφήσω. π. ἀφεῖκα. ἀ. ἀφῆκα και ἀφῆν και ἄφιον και ἤφιον.

Προς. Ἄφες. Εὐκτ. Ἀφείην. Ὑποτ. Ἀφῶ. Ἀπ. Ἀφιέναι καὶ ἀφεῖναι. Μετ. Ἀφιεὶς καὶ ἀφείς. Παθ. Ἀφίεμαι. ἀφιέμην. ἀφεῖμαι. ἀφέθην. και ἀφείθην. καὶ ἀφέμην.

Περὶ τόνου τῶν Ῥημάτων καὶ Μετοχῶν.

Τὰ δισύλλαβα ῥήματα ἀεὶ ἐπὶ τῆς παραληγούσης τονίζονται, ἀπαθῆ ὄντα· τὰ γὰρ πάσχοντα συναίρεσιν περισπῶνται. τὰ δὲ πολυσύλλαβα βραχυπαραληκτοῦντα προπαροξύνονται: οἷον γράφω, λέγω· γράφε, λέγε· γράφομεν, λέγομεν· γράφομαι, λέγομαι. Διὰ ταῦτα οὖν καὶ τὰ δισύλλαβα πολυσύλλαβα διὰ τῆς συνθέσεως γινόμενα καὶ βραχυκαταληκτοῦντα μὲν, προπαροξύνονται: οἷον, πρόγραφε, πρόλεγε· μακροκαταληκτοῦντα δὲ παροξύνονται: οἷον προγράφου.

Τὰ δὲ Εὐκτικά καὶ ὑποτακτικὰ ἐπὶ τῆς αὐτῆς τονίζονται, ἐφ᾽ ἧς καὶ τὸ ἀρχικὸν ῥῆμα, ἣν μὴ κωλύῃ ἡ μακρὰ ἢ βραχεῖα λήγουσα, ὁμοίως καὶ τὰ Ἀπαρέμφατα, πλὴν τῶν εἰς ναι ληγόντων: ἀκούω, ἀκούοιμι, ἐὰν ἀκούσω, ἀκούειν.

Ἐξαιροῦνται τοῦ εἰρημένου κανόνος

Α΄. Τὰ τροχαϊκὰ περισπώμενα· ταῦτα γὰρ καὶ πολυσύλλαβα διὰ τῆς συνθέσεως γινόμενα οὐκ ἀναβιβάζουσι τὸν τόνον, τοῖς τροχαϊκοῖς ὀνόμασιν, ἅτινα τὸν τὸνον ἀνάβιβάζουσιν ἐν τῇ συνθέσει: οἶκος, δῆμος, πάροικος, παρεπίδημος· τοὐναντίον πάσχοντα: οἷον εἶπον, προεῖπον· εἶχον, παρεῖχον· πλὴν τοῦ κάθημαι, πρόσκειμαι, σύνοιδα, σύνοισθα, φυλαττόντων τὸν κανόνα·

Β΄. Οἱ παρῳχήμενοι τῆς Ὁριστικῆς τῶν δυσυλλάβων ῥημάτων τῶν διὰ τῆς συνθέσεως πολυσυλλάβων γινομένων, καὶ ἀπὸ φωνήεντος ἀρχομένων· οὗτοι γὰρ συναιροῦντες τὸ ε τῆς συλλαβικῆς αὐξήσεως, ἐν τῇ παραληγούσῃ ἀεὶ τονίζονται: οἷον, ἀνάγω, ἀνέηγον, καὶ συναιρέσει ἀνῆγον, ἀνῆγες, ἀνῆγε· Α:

ἀνῆξε. Π: ἀνῆγε. τὰ δὲ προςακτικὰ προπαροξύνονται κατὰ τὸν κανόνα, διὰ τὸ μὴ αὐξάνεσθαι, μηδὲ συναιρεῖσθαι κατὰ τὴν συλλαβικὴν αὔξησιν: οἷον, ἄναγε, ἄνοιξον.

Τὰ ἑνικὰ τῆς Προςακτικῆς τῶν ἑξῆς ῥημάτων: εἰπὲ, ἐλθὲ, εὑρὲ, ἰδὲ, λαβὲ· καὶ ἐκ τῶν εἰς μι ὁριςικῶν τὸ εἰμὶ καὶ τὸ φημί· ταῦτα γὰρ ἀεὶ ὀξύνονται ἁπλᾶ ὄντα· τὰ γὰρ σύνθετα προςακτικὰ τῷ γενικῷ κανόνι ἕπονται: κάτειπε, ἄπελθε· ὅτι καὶ πᾶν προςακτικὸν, εἰ μὴ μακρὰ λήγουσα κωλύοι, ἀναβιβάζει τὸν τόνον ἐν τῇ συνθέσει· ἀνάςηθι, ἀπόδος, ἄφες, ἀπόθου, κατάθου· τὸ δὲ οὗ διφορεῖται ἐν τῇ συνθέσει τῶν μονοσυλλάβων προθέσεων: πρόου καὶ προοῦ.

Δ΄. Οἱ ἀντὶ Ἀορίςων λαμβανόμενοι παρατατικοὶ τῶν Ἐνεργητικῶν καὶ παθητικῶν καὶ μέσων· ἐξ ὧν οἱ μὲν ἐνεργητικοὶ περισπῶνται ἐν τοῖς Ἀπαρεμφάτοις, καὶ ὀξύνονται ἐν ταῖς Μετοχαῖς: εἰπεῖν, εἰπών· οἱ δὲ παθητικοὶ καὶ μέσοι περισπῶνται ἐν μόνῳ τῷ ἑνικῷ δευτέρῳ τῆς προςακτικῆς συγκοπτομένης κατὰ τὰ λοιπὰ πρόσωπα, καὶ ὡς τὰ βαρύτονα σχηματιζομένης: γενοῦ, γενέσθω, γένεσθε. γενέσθωσαν· ἀντὶ γενεέσθω, γενέεσθε, γενεέσθωσαν· πλὴν τοῦ ἵκου, λάθου, τράπου. Ἐν δὲ τοῖς Ἀπαρεμφάτοις ἀεὶ παροξύνονται: γενέσθαι, σχέσθαι, παραγενέσθαι, παρασχέσθαι.

Ε΄. Ὁ παθητικὸς Ἀόριςος τῆς ὑποτακτικῆς τῶν βαρυτόνων· καὶ ἔτι ὁ Ἐνεςὼς καὶ ὁ Παρατατικὸς τῆς ὑποτακτικῆς τῶν εἰς μι ἐνεργητικῶν· οὗτοι γὰρ ἀεὶ περισπῶνται: γραφθῶ· τιθῶ καὶ θῶ· ἱςῶ καὶ ςῶ· διδῶ καὶ δῶ· ὅτι καὶ πᾶν ῥῆμα μακροκατάληκτον καὶ ἐπὶ τέλους τονιζόμενον περισπᾶται. πλὴν τοῦ χρὴ, φής.

ΣΤ΄. Τὰ παθητικὰ τῶν εἰς μι Ἐκτικῶν ἀεὶ ἐπὶ τῆς πα-

ραληγούσης τονιζομένων: τιθείμην, τιθεῖο, τιθεῖτο· ἱςαίμην, ἱςαῖο, ἱςαῖτο· διδοίμην, διδοῖο, διδοῖτο. ἴσως διότι γίνονται κατὰ συναίρεσιν ἐκ τῶν βαρυτόνων τιθεοίμην, τιθέοιο, τιθέοιτο. ἱςαοίμην, ἱςάοιο, ἱςάοιτο· διδοοίμην, διδόοιο, διδόοιτο, συναιρουμένων τῶν ε καὶ οι εἰς ει· καὶ τῶν α καὶ οι εἰς αι· και τῶν ο και οι εἰς οι. Τὸ δὲ τιθοίμην, τίθοιο, τίθοιτο· καὶ διδοίμην, δίδοιο, δίδοιτο ἐνίοτε· καὶ ἱςαίμην, ἵςαιο, ἵςαιτο σχεδὸν πάντοτε, Ἀττικῶς σχηματίζονται κατὰ τὰ βαρύτονα ὥσπερ καὶ τὸ ὀναίμην, ὄναιο, ὄναιτο· καὶ δυναίμην, δύναιο, δύναιτο· τὸ δὲ κρεμαίμην, κρέμαιο, κρέμαιτο· καὶ κρεμοίμην, κρέμοιο, κρέμοιτο· καὶ μαρναίμην μάρναιο, μάρναιτο· καὶ μαρνοίμην, μάρνοιο, μάρνοιτο; μιμοῦνται καὶ τὸν τόνον καὶ τὴν δίφθογγον τῶν βαρυτόνων.

Ζ΄. Τὰ παθητικὰ τῶν εἰς μι ὑποτακτικῶν ἅτινα προπερισπῶνται: τιθῶμαι, ἱςῶμαι, διδῶμαι· ἴσως καὶ ταῦτα κατὰ συναίρεσιν ἐκ τῶν τιθέωμαι· διδόωμαι. ἱςάωμαι· ἱςῶμαι, διδῶμαι, πλὴν τῶν Ἀττικῶς σχηματιζομένων: τίθωμαι, δίδωμαι, ἵςωμαι, δύνωμαι, ἐπίςωμαι. καὶ ὅλως πάντα τὰ Εὐκτικὰ καὶ Ὑποτακτικὰ τὰ κατὰ τὸ ἵςαμαι καὶ δίδομαι κλινόμενα προπαροξύνονται: δύναιτο. δύνηται. ἐπίςαιτο, ἐπίςηται· ὄναιτο, ὄνηται.

Η΄. Ὁ Παθητικὸς Παρακείμενος τῶν Ἀπαρεμφάτων καὶ Μετοχῶν, ὃς ἀεὶ ἐν τῇ παραληγούσῃ τονίζεται: γεγράφθαι, γεγραμμένος. πεποιῆσθαι, πεποιημένος.

Θ΄. Τὰ εἰς ναι Ἀπαρέμφατα. ταῦτα γὰρ ἀεὶ ἐν τῇ παραληγούσῃ τονίζονται: γεγραφέναι, γραφῆναι, τιθέναι, τεθῆναι. πλὴν τῶν Δωρικῶς εἰς εμεναι σχηματιζομένων ἐκ τῶν εἰς ειν ἢ εἰς εναι: γράφει, γραφέμεναι καὶ γραφέμεν. κατὰ ἀπο-

κοπήν. γεγραφέναι, γεγραφέμεναι καὶ γεγραφέμεν. Καὶ ἁπλῶς τὰ δισύλλαβα τὰ ἐπὶ τῆς παραληγούσης τονιζόμενα, ταῦτα γὰρ καὶ ἐν τῇ συνθέσει ἐπὶ τῆς παραληγούσης τονίζονται· ὅτι πᾶν Ἀπαρέμφατον καὶ μετὰ τὴν σύνθεσιν ὁμοτονεῖ τῷ ἰδίῳ ἁπλῷ γράψαι, ἀπογράψαι. θέσθαι, ἀποθέσθαι. κεῖσθαι, ἀποκεῖσθαι. εἰπεῖν, κατειπεῖν. οὕτω καὶ πᾶν ὑποτακτικὸν μονοσύλλαβον, καὶ μετὰ τὴν σύνθεσιν οὐκ ἀναβιβάζει τὸν τόνον, ὅταν ἡ μετοχὴ εἰς σ λήγουσα ὀξύνηται: στάς, στῶ, ἀναστῶ. δούς, δῶ, παραδῶ. μὴ ληγούσης δὲ εἰς σ τῆς ὀξυνομένης μετοχῆς, ἀναπέμπει τὸν τόνον: σχὼν, σχῶ, παράσχω. Ὁμοίως δὲ καὶ οἱ ἐνεστῶτες καὶ παρατατικοὶ τῶν παθητικῶν καὶ μέσων οἱ ἀντὶ Ἀορίστων λαμβανόμενοι κατ' ἀφαίρεσιν τῆς ἀρκτικῆς συλλαβῆς, καὶ διὰ τῆς συνθέσεως πολυσύλλαβοι γινόμενοι ἐκ δισυλλάβων, ἀναβιβάζουσι τὸν τόνον: δῶμαι, παράδωμαι· σχῶμαι, κατάσχωμαι.

Ι. Αἱ εἰς ως καὶ εἰς εις λήγουσαι Μετοχαὶ καὶ τῶν εἰς μι αἱ εἰς ας καὶ εἰς ους, ἀεὶ ὀξυτονούμεναι: γεγραφὼς, γραφεὶς, τιθεὶς, ἱστὰς, διδούς. πλὴν τοῦ ἴσας. Αἱ δὲ θηλυκαὶ καὶ οὐδέτεραι τονίζονται ἐπὶ τῆς αὐτῆς συλλαβῆς, ἐφ' ἧς καὶ τὸ οἰκεῖον ἀρσενικόν: ὁ γεγραφὼς, τὸ γεγραφὸς, ἡ γεγραφεῖα.

Περὶ Ἐγκλίσεως Τόνου.

Τινὲς ἐκ τῶν μονοσυλλάβων, ἢ δισυλλάβων λέξεων τῶν ἐπὶ τέλους τονιζομένων ἀπαθῶς, καὶ μὴ ὑπερβαινουσῶν τὸ τρίχρονον, ἑτέρα λέξει ἐπιφερόμεναι ἔχουσι δύναμιν ἤτοι ἀναπέμπειν τὸν οἰκεῖον τόνον εἰς τὴν ἡγουμένην λέξιν προπαροξύτονον, ἢ προπερισπωμένην, ἢ ἄτονον οὖσαν, ἢ ἀποβάλλειν αὐτόν, ἄλλως ἐχούσης τῆς ἡγουμένης λέξεως.

Αἱ τοιαῦται οὖν λέξεις, ᾗ μὲν τοιαυτην δύναμιν ἔχουσιν, ἐγκλιτικαὶ καλοῦνται. ᾗ δ' ἐνεργείᾳ ἀναπέμπουσιν. ἢ ἀποβάλλουσι τὸν οἰκεῖον τόνον. ἐγκλινόμεναι. ᾗ δὲ φυλάττουσιν αὐτὸν, ὀρθοτονούμεναι.

Ἐγκλίνονται δὲ

Ἐκ τῶν Ἄρθρων ταῦτα: οἷον τοῦ, τῷ, τῶν, ἀντὶ ἀορίςων λαμβανόμενα.

Ἐκ τῶν Ὀνομάτων τὸ τὶς καὶ τὶ ἀόριςα ὄντα κατὰ πᾶσαν πτῶσιν καὶ ἀριθμόν.

Ἐκ τῶν Ἀντωνυμιῶν αἱ ἑνικαὶ πλάγιαι τῶν πρωτοτύπων: οἷον μοῦ, μοὶ, μὲ· σοῦ, σοὶ, σὲ. οὗ, οἷ, ἕ. καὶ αἱ δυϊκαὶ τοῦ τρίτου πορσώπου: οἷον σφωὲ καὶ σφὲ, σφωῒν καὶ σφίν.

Ἐκ τῶν Ῥημάτων τὸ εἰμὶ καὶ φημὶ κατὰ μόνον τὸν Ἐνεςῶτα τῆς Ὁριςικῆς ἐν παντὶ ἀριθμῷ καὶ προσώπῳ πλὴν τοῦ ἑνικοῦ δευτέρου, οἷον τοῦ εἶ καὶ φῂς ὡς ἐπὶ τέλους τονιζόμενα μὴ ἀπαθῶς, ἀλλ' ἐκ συναιρέσεως· τὸ μὲν γὰρ εἶ, ἐκ τοῦ ἔσομαι ἔῃ καὶ Ἀττικῶς ἔει καὶ συναιρέσει εἶ. τὸ δὲ φῂς ἐκ τοῦ φάω, φάεις, φᾷς καὶ Δωρικῶς φῇς, ὅπερ ὀξυτονεῖται: οἷον φῂς πρὸς διαφορὰν τοῦ ὑποτακτικοῦ.

Ἐκ τῶν ἐπιῤῥημάτων τὰ ἀόριστα, πού, πῆ, ποῖ, πῶ, πῶς, ποθὲν, ποθὶ, ποτέ.

Ἐκ τῶν συνδέσμων ὁ γὲ, δὲ, τὲ, οὖν, καὶ οἱ παραπληρωματικοὶ, πλὴν τοῦ μήν.

Τὸ ἐγκλινόμενον μετὰ τῆς προκειμένης λέξεως ὡς μία λέξις νομίζεται κατὰ τὸν τόνον.

Συνεγκλιτικὰ ὀνομάζονται τὰ εἰρημένα ἐγκλιτικὰ ἑπόμενα ἀλλήλοις· ἅτινα δισύλλαβα μὲν ὄντα, δέχονται τὰ ἡγούμενα τὸν τόνον τῶν ἑπομένων: οἷον οὐδέποτέ φασί τινές του φείσονται. μονοσύλλαβα δὲ, τὸ πρῶτον δέχεται τὸν τόνον τοῦ δευτέρου, καὶ τὸ τρίτον τοῦ τετάρτου: οἷον εἴμοι τίς γε λέξει.

Ὀρθοτονοῦνται δὲ προταττόμενα τοῦ λόγου, ἢ μετὰ στιγμὴν ἑπόμενα, ἢ τῷ τὸ ὁρικῷ ἐπιφερόμενα, ἢ λέξει ἀποβαλούσῃ τὸ ληκτικὸν φωνῆεν ἑπόμενα, λέξει ἤτοι παροξυτόνῳ, ἢ προπερισπωμένῃ καὶ θέσει μακροκαταλήκτῳ: οἷον τινὲς μὲν καὶ διὰ φθόνον· τὸ ἐμοῦ, ἐμοὶ, ἐμὲ ὀρθοτονεῖται. λόγος ἐστίν· αὖλαξ ἐστί.

Αἱ ἐγκλιτικαὶ ἀντωνυμίαι ὀρθοτονοῦνται, συντασσόμεναι ταῖς προθέσεσιν, ἢ τῷ ἕνεκα, ἢ τοῖς μεριστικοῖς καὶ συμπλεκτικοῖς καὶ διαζευκτικοῖς, ἢ τοῖς ἐξαιρετικοῖς μορίοις: οἷον ὑπὲρ ἐμοῦ, σὺν ἐμοὶ, πρὸς ἐμὲ (πλὴν τοῦ πρός με) ἕνεκά σου, σοὶ μὲν ἐγὼ, σὺ δὲ ἐμοί. ἤτοι ἐμοὶ, ἢ σοί· κἀμοὶ καὶ σοί· πλὴν ἐκτὸς, χωρὶς σοῦ. κ. τ. λ.

Ἢ πρόσωπα ἀντιδιαστέλλουσαι: οἷον σὲ ὑμνοῦμεν.

Ἢ ὁμοιοπτώτου ὀνόματος ἡγούμεναι: οἷον σὲ τὸν βασιλέα.

Τὸ ἐστὶν ἀναβιβάζει τὸν τόνον εἰς τὴν ἑαυτοῦ παραλήγουσαν ὕπαρξιν σημαῖνον, ἢ προτασσόμενον λόγου, ἢ μετὰ

ςιγμὴν ἑπόμενον, ἢ ἐπιφερόμενον τοῖς μορίοις: ὡς, ναὶ, οὐκ, ἀλλ᾽, δ᾽, καὶ, εἰ. τοῦτ᾽· ἥλιος ἔςιν· ἔςιν ἡ μάθησις ἀγαθόν· ὡς ἔςι, ναὶ ἔςιν, οὐκ ἔςιν, ἀλλ᾽ ἔςι, καὶ ἔςιν, εἰ ἔςιν, οὐδ᾽ ἔςι, τοῦτ᾽ ἔςι.

Περὶ τῶν Περισπωμένων Μερῶν τοῦ Λόγου.

Τὰ ἐκ συναιρέσεως πάντα περισπῶνται: οἷον Ἑρμέας, ῆς· ποιέω, ῶ· πλὴν τῶν εἰς ω αἰτιατικῶν τῶν ὁμοφωνούντων τῇ ὀνομαςικῇ: οἷον Λητ-όα, ώ· ὅτι τὰ εἰς ω λήγοντα πτωτικὰ κλίσεως τυγχάνοντα, οὐδέποτε περισπασμὸν ἀνεδέξαντο· καὶ τῶν εἰς ως Ἰωνικῶν μετοχῶν: οἷον ἑςα-ὼς, ώς.

Πᾶσα γενικὴ καὶ δοτικὴ μακροκατάληκτος οὖσα καὶ ἐπὶ τέλους τονιζομένη περισπᾶται, πλὴν τῆς ἐμοὶ, σοὶ, καὶ τῆς γενικῆς τῶν τεταρτοκλίτων: νεώ.

Τὰ εἰς ας, ης, ους κύρια τεταρτόκλιτα Δωρικὰ ἐπὶ τέλους τονιζόμενα περισπῶνται: οἷον Κοσμᾶς, Θαλῆς, Ἰησοῦς.

Τὰ εἰς ας, υς, ους, μονοσύλλαβα, καὶ ὅλως τὰ εἰς ους ἁπλᾶ περισπῶνται: πᾶς, δρῦς, μῦς, σῦς, ὗς, βοῦς· οἷς ἠκολούθησε καὶ τὸ ἰχθῦς, ἀπφῦς, ὀσφῦς, ὀφρῦς· πλὴν τοῦ πούς καὶ ὀδούς.

Τὰ μονοσύλλαβα οὐδέτερα: οἷον πᾶν, πῦρ, σκῶρ· καὶ ὅλως τὰ πλεῖςα τῶν μονοσυλλάβων: οἷον ναῦς, εἷς, ποῦ, πῶς, νῦν, οὖν.

Πᾶν ῥῆμα μακροκατάληκτον καὶ ἐπὶ τέλους τονιζόμενον περισπᾶται, πλὴν τοῦ χρὴ, φής.

Πᾶσα δίφθογγος τελικὴ εἰς υ λήγουσα καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται: βασιλεῦ, βοῦ, ναῦ, φεῦ, εὖ· πλὴν τοῦ ἰδοὺ, ἰού, οὔ.

Τὰ εἰς η ἢ ως ἐπιῤῥήματα ἐπὶ τέλους τονιζόμενα περισπῶνται: καλῶς, εἰκῆ.

Περὶ τῶν Δασυνομένων.

Τὸ ἀθροιστικὸν α δασύνεται. ἅπας.

Πᾶν Ἄρθρον ἀπὸ φωνήεντος ἀρχόμενον δασύνεται.

Πάντα τὰ ἀριθμητικὰ δασύνονται: οἷον ἅπαξ, εἷς, ἓξ, ἑπτὰ, ἑκατὸν· πλὴν τῶν ὀκτὼ καὶ ἐννέα καὶ εἴκοσι.

Τὸ προστιθέμενον ο δασύνεται: οἷον ὁποῖος.

Τὸ προστιθέμενον ε δασύνεται, δασυνομένου καὶ τοῦ ἀρκτικοῦ φωνήεντος: ὥρακα, ἑώρακα· ἄλλως δὲ οὔ, ἀλλ' ἀεὶ ψιλοῦται.

Ἡ Ἀντωνυμία ἓ καὶ αἱ ἐξ αὐτῆς καὶ αἱ λοιπαὶ αἱ ἀπὸ ἄλλου φωνήεντος ἀρχόμεναι δασύνονται· πλὴν τῆς ἀναφορικῆς.

Πάντες οἱ αἰτιολογικοὶ σύνδεσμοι καὶ τὸ ὅμως δασύνονται.

Παντα τὰ κατὰ ἀφαίρεσιν τοῦ ψιλοῦ συμφώνου γινόμενα ἀναφορικὰ δασύνονται: οἷον τόσος, ὅσος· τέως, ἕως· πλὴν τοῦ τόφρα, ὄφρα· τῆμος, ἦμος.

Πᾶσα λέξις ἀπὸ τοῦ υ ἀρχομένη δασύνεται.

Πᾶσα λέξις ἀπὸ τοῦ ρ ἀρχομένη δασύνεται· ὅταν δὲ εὑρεθῶσι δύο ἐν τῷ μέσῳ τῆς λέξεως· τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δασύνεται.

Διπλασιάζεται δὲ τὸ ρ τριχῶς· ἢ κατὰ μεταβολὴν τοῦ σ ἢ ν εἰς ρ: οἷον θάρσος, θάῤῥος, συῤῥοή· ἢ κατὰ σύνθεσιν εἰς φωνῆεν λήγουσαν: οἷον ἐπίῤῥημα· πλὴν τῶν ἀπὸ τῆς ευ: οἷον εὐρωστία· ἢ κατὰ συλλαβικὴν αὔξησιν: οἷον ἐῤῥητόρευον.

Τὸ α πρὸ τοῦ β δασύνεται: οἷον Ἁβραάμ.
ἅβρα.
ἁβρός.
πρὸ τοῦ γ ἁγνός.
ἅγιος.
πρὸ τοῦ δ ᾅδης.
ἁδρός.
πρὸ τοῦ ζ ἅζομαι.
πρὸ τοῦ ι αἷμα.
αἱρέω.
αἱροῦμαι.
αἱμύλος.
αἷμος.
πρὸ τοῦ λ ἅλις.
ἅλας.
ἅλς.
ἁλίσκω.
Ἁλικαρνασός.
ἅλλομαι.

		ἅλυσις.
	πρὸ τοῦ μ	ἅμα.
		ἁμαρτάνω.
		ἅμιλλα.
		ἅμμα.
		ἅμις.
		ἁμίς.
	πρὸ τοῦ ν	ἁνδάνω.
	πρὸ τοῦ π	ἅπαξ.
		ἁπαλός.
		ἁπλοῦς.
		ἅπτομαι.
	πρὸ τοῦ ρ	ἅρμα.
		ἁρμόζω.
		ἁρπάζω.
		ἅρκυς.
	πρὸ τοῦ τ	ἅτερος.
	πρὸ τοῦ φ	ἁφή.
	πρὸ τοῦ ψ	ἁψίς.
		ἅψεα.
		ἁψίκορος.
Τὸ ε	πρὸ τοῦ β	Ἑβραῖος.
	πρὸ τοῦ δ	ἕδαφος.
		ἕδνος.
		ἕδος.
		ἑδοῦμαι.
		ἕδρα.

πρὸ τοῦ ε	ἐέλδωρ.
πρὸ τοῦ ζ	ἕζομαι.
πρὸ τοῦ ι	εἰλύω.
	εἱμαρμένη.
	εἷμα.
	εἴω.
	εἱρμός.
	εἴργω.
	εἱρκτή.
πρὸ τοῦ κ	ἑκάς.
	ἕκαστος.
	ἑκάτερος.
	Ἑκάβη.
	Ἑκάτη.
	ἑκών.
πρὸ τοῦ λ	Ἕλλην.
	Ἑλλήσποντος.
	Ἕλενος.
	Ἑλένη.
	ἑλύσσω.
	Ἑλικών.
	ἕλιξ.
	ἕλμινς.
	ἕλκος.
	ἕλκω.
	ἕλος.
	ἕλωρ.
πρὸ τοῦ ν	ἕνος.

	ἐνόω.
πρὸ τοῦ ο	ἑορτή.
πρὸ τοῦ π	ἕπομαι.
πρὸ τοῦ ρ	ἕρκος.
	Ἑρμῆς.
	ἑρμηνεία.
	ἕρπω.
	ἕρση.
πρὸ τοῦ σ	ἑςιῶ.
πρὸ τοῦ τ	ἕτοιμος.
	ἑταῖρος.
	ἕτερος.
πρὸ τοῦ υ	εὕδω,
	εὑρίσκω.
πρὸ τοῦ φ	ἑφθός.
πρὸ τοῦ ψ	ἕψω.
	ἑψύω.
πρὸ τοῦ ω	ἑώα.
	ἕωλος.
	ἕως.
Τὸ η πρὸ τοῦ β	Ἥβη.
	ἡβάω.
πρὸ τοῦ γ	ἡγοῦμαι.
πρὸ τοῦ δ	ἡδονή.
πρὸ τοῦ κ	ἧκω.
	ἥκιςα.
πρὸ τοῦ λ	ἡλικία.

	ἥλιος.
	ἧλος.
πρὸ τοῦ μ	ἡμέρα.
	ἥμερος.
	ἥμισυ.
	ἥμων.
πρὸ τοῦ ν	ἡνία.
πρὸ τοῦ π	ἧπαρ.
πρὸ τοῦ ρ	Ἡρακλῆς.
	Ἡρόφιλος.
	Ἡρωδιανός.
	Ἡρώδης.
	Ἥρων.
	Ἥρως.
πρὸ τοῦ σ	Ἡσίοδος.
	ἥσυχος.
	ἥσσων.
πρὸ τοῦ τ	ἡττῶμαι.
πρὸ τοῦ φ	Ἥφαιστος.
	Ἡφαιστίων.
Τὸ ι πρὸ τοῦ δ	ἱδρύω.
πρὸ τοῦ ε	ἱερός.
	ἱέραξ.
πρὸ τοῦ η	ἵημι.
πρὸ τοῦ κ	ἱκάνω.
	ἱκετεύω.
	ἱκνοῦμαι.

πρὸ τοῦ λ	ἵλεως.
	ἱλαρός.
πρὸ τοῦ μ	ἵμερος.
	ἱμείρω.
	ἱμάς.
	ἱμάσσω.
πρὸ τοῦ π	ἵππος.
	ἵπτασθαι.
πρὸ τοῦ σ	ἵστημι.
Τὸ ο πρὸ τοῦ δ	ὁδός.
πρὸ τοῦ θ	ὅθεν.
πρὸ τοῦ λ	ὁλκή.
	ὁλκάς.
	ὅλμος.
	ὅλος.
πρὸ τοῦ μ	ὁμοῦ.
	ὅμοιος.
	Ὅμηρος.
	ὁμαλός.
	ὅμιλος.
πρὸ τοῦ π	ὁπλή.
	ὅπλον.
	ὅπου.
	ὅπως.
πρὸ τοῦ ρ	ὅρμος.
	ὅρκος.
	ὅρος.

ὁρίζω
ὁρῶ.
πρὸ τοῦ σ ὅσιος.

Τὸ ω πρὸ τοῦ δ ὧδε.
πρὸ τοῦ ρ ὥρα.
ὡραῖος.
πρὸ τοῦ σ ὡς.

Ὁμοίως δὲ καὶ τὰ ἐκ τούτων παραγόμενα καὶ μετασχηματιζόμενα φυλάττουσι πανταχοῦ τὸ αὐτὸ πνεῦμα: οἷον ὥρα, ὡραῖος· ὥρας, ὡραίου· ἅλλομαι, ἡλλόμην.

Τὰ δὲ παρὰ ταῦτα δῆλον ὅτι ψιλοῦνται· πλὴν τοῦ ἕξω δασυνομένου, πρὸς διαφορὰν τοῦ ἔξω ἐπιῤῥήματος ψιλουμένου.



Περὶ Οὐσιαςικοῦ καὶ Ἐπιθέτου· Πρωτοτύπου καὶ Παραγώγου.

Σῶμα τῆς λέξεώς ἐςι τὸ ἄθροισμα τῶν ἐξ ὧν σύγκειται συλλαβῶν προφερομένων ἢ γραφομένων: πνεῦμα δὲ τὸ σημαινόμενον πρᾶγμα, οὗτινος σημεῖον αἰσθητὸν προσδιωρίσθη ἡ λέξις· ἵνα ἢ ἀκούοντες, ἢ βλέποντες αὐτὴν, εὐθὺς ἐννοῶμεν αὐτό.

Ὅταν μὲν οὖν θεωρῶμεν τὸ πνεῦμα: εἴτε τὸ σημαινόμενον τῶν ὀνομάτων, γνωρίζομεν αὐτὰ, ὅτι σημαίνουσιν ἢ τὸν Θεὸν καὶ τὰ θεῖα δημιουργήματα, ἔτι δὲ καὶ πάντα τὰ τεχνητὰ, οἷόν ἐςι τὰ: Θεὸς, ἄγγελος, ψυχὴ, ἄνθρωπος, ζῶον, φυτὸν, ξύλον, λίθος, χοῦς, ὄρος, ὕδωρ, αὖλαξ, ποταμὸς, θάλασσα, γῆ, ἀὴρ, νέφος, ἀςὴρ, σελήνη, ἥλιος, οὐρανὸς, πόλις, οἶκος, τράπεζα, λύχνος, ἄρτος, κ. τ. λ. Καὶ τότε ταῦτα πάντα καὶ τὰ τοιαῦτα ὀνομάζονται οὐσιαςικὰ· ἢ τὰς ἰδιότητας αὐτῶν: οἷον τὰς ποιότητας, ποσότητας, σχήματα, ἐνεργείας καὶ πάθη θεωρούμενα ἐπάνω αὐτῶν καὶ συγκεκριμένα τούτοις: οἷον ἐπὶ τοῦ ἡλίου λαμπρὸς, μέγας, σφαιρικὸς, φωτιςικὸς, κινητός· καὶ τότε ταῦτα καὶ τὰ τοιαῦτα ὀνομάζονται Ἐπίθετα. Ἐὰν δὲ ὁ νοῦς ἀφαιρῇ αὐτὰ ἀπὸ τῶν οὐσιαςικῶν, καὶ θεωρῇ ὡς ἰδιοσύςατα, τότε ὀνομάζονται καὶ αὐτὰ οὐσιαςικὰ ἀφηρημένα: οἷον λαμπρότης, μέγεθος, σφαῖρα, φωτισμὸς, κίνησις.

Τὰ οὐσιαςικὰ ὅσα μὲν λέγονται κοινῶς κατὰ πάντων τῶν ὁμοίων ὀνομάζονται Προσηγορικὰ: οἷον Ἄγγελος, ψυχὴ, ἄνθρωπος, οἶκος, κ. τ. λ. Ὅσα δὲ λέγονται καθ' ἑνὸς μόνου ὀνομάζονται κύρια: οἷον Ἥλιος, Σελήνη, Δημήτριος, Ἀθανάσιος.

Ὅταν δὲ θεωρῶμεν τὸ ἄθροισμα τῶν συλλαβῶν εὑρίσκομεν αὐτὰ ἢ πρώτως καὶ καθ᾽ ἑαυτὰ ἐσχηματισμένα, καὶ τότε ὀνομάζονται Πρωτότυπα: οἷον ἄνθρωπος, ἢ ἀφ᾽ ἑτέρων μετεσχηματισμένα καὶ τότε ὀνομάζονται παράγωγα: οἷον Πλάτων ἀπὸ τοῦ πλατύς.

Εἴδη τῶν παραγώγων δύο Παρώνυμον, καὶ Ῥηματικόν. Τοῦ δὲ Παρωνύμου εἴδη ἕξ: Πατρωνυμικὸν, Ὑποκοριστικὸν, Κτητικὸν, Συγκριτικὸν, Ὑπερθετικὸν, καὶ ἁπλῶς Παρώνυμον. Ῥηματικὰ ὀνόματά εἰσι τὰ ἀπὸ ῥημάτων παραγόμενα: οἷον λόγος ἀπὸ τοῦ λέγω· οὕτω καὶ ἀπὸ τοῦ εὐλογῶ, εὐλογία· μαίνω, μανία· πρεσβεύω, πρεσβεία· πάθω, πάθος· θέω, Θόας· κλέπτω, κλοπή· τύπω, τύπος· φείδω, φειδωλός· φέρω, φόρος· καὶ ἁπλῶς τὰ περιττοσυλλαβοῦντα, ἢ ἰσοσυλλαβοῦντα τοῖς συστοίχοις Ἐνεστῶσιν ἀπ᾽ αὐτῶν παράγονται.

Τὰ δὲ ἀπὸ τοῦ Μέλλοντος τοὐναντίον πάσχουσιν, οἷον ἀπὸ τοῦ περιττοσυλλαβοῦντος Μέλλοντος ἐλπίσω παράγεται τὸ ἐλπὶς, καὶ ἀπὸ τοῦ ἰσχύσω τὸ ἰσχύς· κ. τ. λ.

Τὰ δὲ ἀπὸ τοῦ ά. προσώπου τοῦ παθητικοῦ παρακειμένου εἰς α ἢ εἰς η ἢ εἰς ος ἢ εἰς ων: οἷον γέγραμμαι, γράμμα· πέπλησμαι, πλησμονή· κεχώρισμαι, χωρισμός· μέμνημαι, μνήμων· ἢ ἀπο τοῦ β΄ εἰς ια ἢ ιον ἢ ις: οἷον εἴργασαι, ἐργασία· γεγύμνασαι, γυμνάσιον, καὶ γύμνασις· πεποίσαι, ποίησις· ἢ ἀπὸ τοῦ Γ΄ προσώπου εἰς ηρ ἢ ηριον, ἢ ρον, ἢ τεος, της, τος, ωρ: οἷον σέσωσαι σωτὴρ· πέποται, ποτήριον· πέπληκται, πλῆκτρον· πεποίηται ποιητέος, ποιητὴς, ποιητός· πέπρακται, πράκτωρ. Ταῦτα πάντα τὰ ἀπὸ τοῦ παθητικοῦ παρακειμένου σχηματίζονται ἀφαιρέσει τῆς αὐξήσεως καὶ μεταποιήσει τῆς ληγούσης.

Περὶ Πατρωνυμικοῦ.

Τὰ Πατρωνυμικὰ σχηματίζονται κυρίως μὲν ἀπὸ τῆς γενικῆς τοῦ ὀνόματος τοῦ πατρὸς, οὐχὶ δὲ καὶ τῆς μητρὸς (πλὴν τοῦ Λητωΐδης ἀπὸ τῆς Λητοῦς καὶ τοῦ Δαναΐδης ἀπὸ τῆς Δανάης) οἷον ἀπὸ τοῦ Πηλέως Πηλεΐδης ὁ Ἀχιλλεὺς, καταχρηστικῶς δὲ καὶ ἀπὸ τοῦ πάππου: οἷον ἀπὸ τοῦ Αἰακοῦ Αἰακίδης ὁ αὐτός.

Καὶ σχηματίζονται τὰ μὲν ἀρσενικὰ

Α΄. Εἰς αδης, ὅσα παράγονται ἀπὸ τῶν πρωτοκλίτων καὶ καθαροκλίτων τῆς γ΄. τῶν ἐχόντων ι ἢ ει πρὸ τῆς καθαρᾶς ληγούσης: οἷον Αἰνείου Αἰνειάδης· Ἱππότου, Ἱπποτάδης· Βασιλείου, Βασιλειάδης· Δημητρίου, Δημητριάδης.

Β΄. Εἰς ιδης ὅσα παράγονται ἀπὸ τῶν πεμπτοκλίτων, τῶν βραχυπαραληκτούντων ἐν ταῖς πλαγίαις καὶ ἀπὸ τῶν μὴ καθαρῶν τριτοκλίτων καὶ τῶν μὴ ἐχόντων ι ἢ ει πρὸ τῆς καθαρᾶς ληγούσης: οἷον Πριάμου Πριαμίδης· Νικολάου, Νικολαΐδης, Πανθόου, Πανθοΐδης, Πηλέως, Πηλεΐδης καὶ κατὰ συναίρεσιν Πηλείδης (α) καὶ Πηλείων Ἰωνικῶς (β).

Ἀπὸ δὲ τῶν μακροπαραληκτούντων ἐν ταῖς πλαγίαις πεμπτοκλίτων εἰς ιαδης: οἷον Τελαμῶνος Τελαμωνιάδης.

(α) Τὰ εἰς ιδης Πατρωνυμικὰ τὰ προπαραλήγοντα εἰς ε ἢ ο συναιροῦνται εἰς ει, ἢ οι, οἷον Πηλεΐδης, Πηλείδης. Πανθοΐδης, Πανθοίδης.

(β) Οἱ Ἴωνες εἰς ων σχηματίζουσι τὰ πατρωνυμικὰ μόνον ἐκ τῆς γενικῆς τῶν πεμπτοκλίτων τῶν παραληγόντων εἰς ε· τὸ ὑῤῥάδιος ἀπὸ τοῦ ὕῤῥαξ Αἰολικῶς.

Τὰ δὲ θηλυκὰ εἰς ας ἢ εἰς ις ἀπὸ τῶν ἰδίων ἀρσενικῶν ἀποβολῇ τοῦ δη: οἷον Αἰνειὰς ἀπὸ τοῦ Αἰνειάδης. Πριαμὶς ἀπὸ τοῦ Πριαμίδης· Αἰολικῶς δὲ εἰς ωνη μὲν ὅταν ἡ γενικὴ τοῦ πρωτοτύπου ᾖ καθαροκατάληκτος: οἷον Διὸς, Διώνη, εἰς ινη δὲ ὅταν ᾖ τοὐναντίον: οἷον Ἀδράςου, Ἀδραςίνη.

Τὰ δὲ ὀνόματα τῶν ἀρτιγεννήτων ζώων σχηματίζονται ἀπὸ τῶν προσηγορικῶν εἰς ιδευς: οἷον λύκου, λυκιδεύς· ἀετοῦ, ἀετιδεύς.

Περὶ Ὑποκοριςικοῦ (α).

Τὰ Ὑποκοριςικὰ σχηματίζονται ἀπὸ τῶν κυρίων ἢ προσηγορικῶν.

Καὶ τὰ μὲν ἀρσενικὰ σχηματίζονται εἰς αξ, ας, ισκος, ιλος, υλλος, υς, ιων, ων: οἷον ϐῶλος, ϐώλαξ· Ῥόδιος, Ῥόδαξ· Μηνόδωρος, Μηνᾶς· καὶ Δημήτριος, Δημᾶς, (κατὰ συγκοπὴν) ἄνθρωπος, ἀνθρωπίσκος ναύτης, ναυτίλος· Ἡρακλῆς, Ἥρυλλος· Διονύσιος, Διονῦς (κατὰ συγκοπὴν) μωρὸς, μωρίων· Βακχυλίδης, Βάκχων.

Τὰ δὲ θηλυκὰ εἰς ις, ισκη, χνη, ων: οἷον θεράπαινα, θεραπαινὶς· παῖς, παιδίσκη· πόλις, πολύχνη· ὑψιπύλη, ὕψων.

Τὰ δὲ οὐδέτερα εἰς ιον, διον. ειον, αιον, υλλιον, χνιον, ιδριον, υφιον, αριον. ωνιον, ασιον: οἷον, λόγος. λόγιον· μεῖραξ, μειράκιον· κρέας, κρεάδιον· ἄγγος, γυνὴ, εἶδος, ϐρέφος, βρεφύλιον, ἀγγεῖον, γύναιον, εἰδύλλιον· πόλις, πολύχνιον· λόγος, λογίδριον· ζῶον, ζωΰφιον· ἄνθρωπος, ἀνθρωπάριον· ὄψον, ὀψώ-

(α) Ἀντιπαράκειται δὲ τούτοις τὰ γάςρων, μνήμων, χείλων, κ. τ. λ. καὶ γὰρ τὰ μὲν ὑποκοριςικὰ δηλοῦσι μείωσιν τοῦ προτωτύπου, ταῦτα δὲ αὔξησιν.

νιον, κόρη, κοράσιον.

Ἀπὸ δὲ τοῦ ἄνθρωπος σχηματίζονται τάδε: ἀνθρωπίσκος, ἀνθρωπάριον, ἀνθρώπιον.

Ἀπὸ τοῦ εἷμα, ἱμάτιον, ἱματίδιον, ἱματιδάριον.

Ἀπὸ τοῦ κόρη, κορίσκη, κόριον, κορίσκιον, κορίδιον, κοράσιον.

Ἀπὸ τοῦ μεῖραξ, μειρακίσκος, μειρακίσκη, μειράκιον, μειρακύλλιον.

Ἀπὸ τοῦ παῖς, παιδίσκος, παιδίσκη, παιδίον, παιδάριον, παιδαρίδιον, παιδισκάριον.

Ἀπὸ τοῦ πὸλις, πολίχνη, πολύχνιον.

Ἀπὸ τοῦ ψῆφος, ψηφὶς, ψηφίδιον.

Περὶ Κτητικῶν

Τὰ Κτητικὰ σχηματίζονται ἀπὸ τῆς γενικῆς τῶν κυρίων, ἢ Προσηγορικῶν, ἐξ ὧν τὰ μέν ὀνομάζονται Μετουσιαςικὰ, τὰ δὲ Οἰκειωματικὰ, τὰ δὲ Συνεκφαντικὰ ἢ ἁπλῶς Κτητικά.

Καὶ τὰ μὲν Ματουσιαςικὰ σχηματίζονται εἰς ινος, ωδες, εος καὶ κατὰ συναίρεσιν ους οἷον ξύλινος, Γεώδες, χάλκεος, χαλκοῦς· τούτοις συμπαρειλήφθωσαν καὶ τὰ ἀμπελόεις, δενδρήεις, χαρίεις, λετιδωτὸς, καμπύλος, πεδεινὸς, ὀρεινὸς, θερεινὸς, θαῤῥαλέος, ϐόειος, σφαιροειδὴς, κηπαῖος, ποδιαῖος, τραυματίας.

Τὰ δὲ Οἰκειωματικὰ: εἴτε ἐθνικὰ ὡς ἐκ τῆς οἰκείας πόλεως, ἢ ἔθνους παραγόμενα εἰς αιος, ευς, ιος, ινος, καὶ ἄλλως: οἷον Ἀθηναῖος, Ἀλεξανδρεὺς, Ἐφέσιος, Περγαμινὸς, Ἀκράγαντῖνος, Αργέϊος Αργεῖος, Κώϊος Κῷος· Ἰταλὸς ὁ κάτοικος, καὶ

Ἰταλιώτης ὁ ἄποικος, Σαρδιανὸς, Κυζηκηνὸς, Λακεδαιμόνιος, Σπαρτιάτης, Αἰγινήτης. Τὰ δὲ Ἀκαρνὰν, Ἀρκὰς, Αἰθίοψ, Ἕλλην, Θρᾷξ, Ἴων, Κὰρ, Κρὴς, Λάκων, Παμφλαγὼν, κατὰ ἀποκοπὴν ἐκ τῶν Ἀκαρνανία, Ἀρκαδία, Αἰθιοπία, Ἑλλὰς, Θρακία, Ἰωνία, Λακωνία, Παμφλαγωνία, Κρήτη, Καρία, καὶ Τρὼς ἐκ τοῦ Τροία. Τὰ δὲ Συνεκφαντικὰ εἰς ικος, υκος, ιος. εος, ειος, οιος, ῳος: οἷον γραμματικὸς, μουσικὸς, θηλυκὸς, λόγιος, Ἑκτόρεος, Ἡράκλειος, Τελαμώνιος, ἀλλοῖος, πατρῷος ἐκ τοῦ πατρώϊος τροπῇ τοῦ ο εἰς ω καὶ ὑπογραφῇ τοῦ ι.

Περὶ Συγκριτικῶν καὶ Ὑπερθετικῶν, ἢ Παραθετικῶν.

Ἐπειδὴ αἱ ἐπὶ τῶν οὐσιῶν ἰδιότητες οὐκ εἰσὶν ἐν τῷ αὐτῷ βαθμῷ, ἀλλὰ διαφέρουσι κατὰ τὸ μᾶλλον καὶ ἧττον, μέγιςον καὶ ἐλάχιςον· διὰ τοῦτο τὰ ἐπίθετα ὡς πρωτότυπα θεωρούμενα καὶ σημαντικὰ τῶν ἰδιοτήτων, ἵνα σημαίνωσι καὶ τοὺς διαφόρους βαθμοὺς αὐτῶν, μετασχηματίζονται εἰς διαφόρους μετασχηματισμούς. Καὶ τὰ μὲν πρωτότυπα ὀνομάζονται θετικά· τὰ δὲ παράγωγα ἐξ αὐτῶν, συγκριτικὰ καὶ ὑπερθετικὰ ἢ κοινῶς παραθετικὰ, ὡς τιθέντα παραλλήλως τὰς οὐσίας καὶ δηλοῦντα τὸν βαθμὸν τῆς ἐν αὐταῖς ἰδιότητος.

Καὶ τὰ μὲν Συγκριτικὰ σχηματίζονται προσλήψει τοῦ τερος κοινῶς, ἢ τοῦ ων ἀνωμάλως· τὰ δὲ ὑπερθετικὰ προσλήψει τοῦ τατος κοινῶς, ἢ τοῦ ςος ἀναμάλως.

Παράγονται δέ: εἴτε σχηματίζονται κοινῶς.

Α΄. ἀπὸ τῶν εἰς ος ἢ υς ἀποβολῇ τοῦ σ καὶ προσλήψει τοῦ τερος ἢ τατος: οἷον σοφὸς, σοφώτερος. (α) σοφώτατος. ταχὺς, ταχύτερος, ταχύτατος. (β) πλὴν τοῦ καλὸς, καλλίων, κάλλιστος. κακὸς, κακίων καὶ χείρων, κάκιστος καὶ χείριστος· ῥάδιος, ῥάων, ῥᾷστος· μικρὸς, μείων· πολὺς, πλείων, πλεῖστος· ἀλγεινὸς· ἀλγείων, ἄλγειστος, σχηματιζομένων ἀνωμάλως· καὶ πλὴν τοῦ φίλος φίλτερος. ἀποβολῇ τοῦ ος. καὶ τῶν εἰς ος μετοχῶν τροπῇ τοῦ ο εἰς ε οἷον ἐῤῥωμένος, ἐρωμενέστερος, καὶ τοῦ μεσαίτερος, ἰδιαίτερος ἀποβολῇ τοῦ ος καὶ προσλήψει τοῦ αι, καὶ λαλίστερος τροπῇ τοῦ ο εἰς ι, ὡς ἐκ τοῦ λάλος θετικοῦ.

Β΄. Ἀπὸ τῶν εἰς ης τροπῇ τοῦ η εἰς ε: οἷον ἀληθὴς, ἀληθέστερος, ἀληθέστατος.

Γ΄. Ἀπὸ τῆς γενικῆς τῶν εἰς ων τροπῇ τοῦ ο εἰς ε: οἷον

(α) Τὰ εἰς στερος καὶ στατος εἰ μὲν ἔχουσι τὴν πρὸ τοῦ ο συλλαβὴν μακρὰν φύσει, ἢ θέσει, ἢ κοινὴν, γράφονται διὰ του ο εἰς βραχεῖαν διὰ τοῦ ω μεγάλου, οἷον πρᾶος, πραότερος, πραότατος· ἔνδοξος, ἐνδοξότερος, ἐνδοξότατος· πικρὸς, πικρότερος, πικρότατος· σοφὸς, σοφώτερος, σοφώτατος.

(β) Ἐκ τῶν εἰς ος καὶ υς τὰ ἑπτὰ ταῦτα, οἷον αἰσχρὸς, ἐχθρὸς, ὀλίγος, ἡδὺς, γλυκὺς, ὠκὺς, ταχὺς διπλοῦν σχηματίζουσι παραθετικὸν, οἷον αἰσχρὸς, αἰσχρότερος, αἰσχίων, αἰσχρότατος, αἴσχιστος· ἐχθρὸς, ἐχθρότερος. ἐχθίων, ἐχθρότατος ἔχθιστος· ὀλιγώτερος. ὀλιγίων, ὀλιγώτατος. ὀλίγιστος· ἡδύτερος, ἡδίων, ἡδύτατος, ἥδιστος· γλυκύτερος, γλυκίων, γλυκύτατος, γλύκιστος· ταχύτερος. ταχίων, ταχύτατος τάχιστος· ὠκύτερος, ὠκίων, ὠκύτατος, ὤκιστος· τὰ δὲ βραδὺς, βραχὺς, παχὺς τριπλοῦν, οἷον βραδύτερος, βραδίων, βράσσων· βραχύτερος, βραχίων, βράσσων· παχύτερος, παχίων, πάσσων· ταχύτερος, ταχίων, θάσσων τροπῇ του τ εἰς θ· καὶ τὸ μακρος, μακρότερος, μακίων, μάσσων, μακρότατος, μάκιστος καὶ μήκιστος·

σώφρονος, σωφρονέςερος, πλὴν τοῦ πέπων, πεπαίτερος, πεπαίτατος. πίων, πιότερος, πιότατος σχηματιζόμενα διαφόρως.

Δ΄. Ἀπὸ τῶν εἰς εις ἀφαιρέσει τοῦ ι: οἷον χαρίεις, χαριέςερος, χαριέςατος.

Ε΄. Ἀπὸ τῶν εἰς ους: οἷον εὔνους, εὐνούςερος, εὐνούςατος.

ΣΤ΄. Ἀπὸ τῆς γενικῆς τῶν εἰς ας ἀποβολῇ τοῦ ος: οἷον μέλας, μέλανος μελάντερος, μελάντατος· πλὴν τοῦ μέγας, μείζων, μέγιςος.

Ταῦτα μὲν πάντα σχηματίζονται ἀπὸ τῶν εὐχρήςων θετικῶν ὀνομάτων· ἐκ δὲ τῶν ἀχρήςων τὰ βελτίων, βέλτιςος· κρείττων κράτιςος· λώων, λῷςος· χείρων, χείριςος· ἐλάσσων, ἐλάττων, ἐλάχιςος. μείων, μεῖςος· ἥσσων, ἥκιςα. Τὰ δὲ ἀρίων, ἄριςος ἐκ τοῦ Ἄρης. καὶ ἐλαχιςότερος ἐλαχιςότατος ἐκ τοῦ ὑπερθετικοῦ ἐλάχιςος. καὶ τὸ φέρτερος, φέρτατος· ἐκ τοῦ φέρων· καὶ πλησιαίτερος, πλησιαίτατος ἐκ τοῦ πλησίον. ἐγγύτερος. κ. τ. λ. ἐκ τῶν ἐπιῤῥημάτων· βασιλεύτερος, βασιλεύτατος ἐκ τοῦ βασιλεύς. κυδίων, κύδιςος ἐκ τοῦ κύδους· ὕψιςος ἐκ τοῦ ὕψος: πρότερος, πρότατος καὶ πρῶτος, ἐκ τῆς πρό. ὑπέρτερος, ὑπέρτατος, ὕπατος, ἐκ τῆς ὑπέρ· ἔσχατος, ὕςερος, ὕςατος. κ. τ. λ.

Περὶ τῶν ἁπλῶς Παρωνύμων.

Παρὰ δὲ τὰ εἰρημένα εἴδη τῶν παρωνύμων. ὅσα ἕτερα παράγονται ἀπὸ τῶν ὀνομάτων ὀνομάζονται ἁπλῶς Παρώνυμα, καὶ σχηματίζονται εἰς ων, οσύνη, ια, εια, οια, η, της, ερος, ηρος, ηλος, καὶ αλως: οἷον ἀπὸ τοῦ πλατὺς, Πλάτων· Θεὸς, θέων· δίκαιος, δικαιοσύνη (α)· ἅγιος, ἁγιωσύνη, ἁγία (β)· κακὸς, κακία. ἀληθὴς, ἀλήθεια· εὔνους, εὔνοια· ἀ-

---

(α) Τὰ εἰς οσυνη φυλάττουσι τὸ ο μικρὸν, ἢ τρέπουσιν εἰς ω μέγα κατὰ τὰ εἰς οτερος καὶ οτατος.

(β) 1. Τῶν ἐπιθέτων τὰ μέν εἰσιν ἄκλιτα, οἷον τὰ πέντε ἕξ .κ. τ. λ. τὰ δὲ κλιτά· καὶ τούτων τὰ μὲν κλινόμενα κατὰ τὰ τρία γένη, ὀνομάζονται τριγενῆ οἷον σοφὸς, σοφὴ, σοφόν. τὰ δὲ κατὰ μόνα τὰ δύο γένη, τουτέστιν, ἢ κατὰ τὸ ἀρσενικὸν καὶ θηλυκὸν, οἷον βασιλεὺς βασίλισσα, ἢ κατὰ τὸ κοινὸν καὶ οὐδέτερον, οἷον ὁ καὶ ἡ φιλόσοφος καὶ τὸ φιλόσοφον, ταῦτα δὲ τὰ διγενῆ καὶ οὐσιαστικὰ καλοῦνται ἐνίοτε, ὅταν ἀντὶ οὐσιαστικῶν ἐν τῷ λόγῳ λαμβάνονται.

2 Τὰ σύνθετα ἐπίθετα κοινά εἰσι τῷ γένει· καὶ ὧν τὸ θηλυκὸν συμπίπτει τῷ ἀφῃρημένῳ οὐσιαστικῷ, οἷον ὁ καὶ ἡ φιλόσοφος, ὁ καὶ ἡ φίλιος καὶ σωτήριος, πρὸς διαστολὴν φιλία σωτηρία· πλὴν τῶν εἰς κος, οἷον εὐσπλαγχνικὸς, εὐσπλαγχνικὴ, εὐσπλαγχνικόν.

3 Τὰ μὲν εἰς ος καθαρὸν ἁπλᾶ τριγενῆ σχηματίζουσι τὸ θηλυκὸν εἰς α καὶ τὸ οὐδέτερον εἰς ον, οἷον ἅγιος, ἁγία, ἅγιον. πλὴν τῶν εἰς οος. Ταῦτα γὰρ εἰς η οἷον ἁπλόος, ἁπλόη, ἁπλόον· ὄγδοος, ὀγδόη, ὄγδοον. τὰ δὲ εἰς μὴ καθαρὸν σχηματίζουσι τὸ θηλυκὸν εἰς η οἷον σοφὸς, σοφὴ, σοφὸν, πλὴν τῶν ἐχόντω τὸ ρ ταῦτα γὰρ εἰς α οἷον φοβερὸς, φοβερὰ, φοβερόν· ὁμοίως καὶ τὰ συνῃρημένα, οἷον ἀργυροῦς, ἀργυρᾶ.

4 Τὰ εἰς ους συνῃρημένα σχηματίζουσι τὸ θηλυκὸν εἰς η καὶ τὸ οὐδέτερον εἰς ουν συνῃρημένως, οἷον ἁπλοῦς, ἁπλῆ, οῦν (πλὴν τῶν ἐχοντων τὸ ρ, καὶ σχηματιζοντων εἰς α το θηλυκον, οἷον ἀργυροῦς ἀργυρᾶ, ἀργυροῦν.)

γαθὸς, ἀγαθὴ. ἀγαθότης· τὸ δὲ ταχὺς, ταχύτης καὶ ταχυτὴς· βραδὺς, βραδύτης καὶ βραδυτὴς· καὶ ἐν γένει πάντα σχεδὸν τὰ ἀφῃρημένα Οὐσιαστικὰ τὰ περιττοσυλλαβοῦντα ἢ ἰσοσυλλαβοῦντα τοῖς συγκεκριμένοις ἐπιθέτοις παράγονται ἀπὸ τῶν αὐτῶν συγκεκριμένων ἐπιθέτων· καὶ τὰ οὐδέτερα καὶ θηλυκὰ τῶν τριγενῶν ἀπὸ τῶν ἀρσενικῶν: οἷον σοφὴ, σοφὸν, ἀπὸ τοῦ σοφὸς ἀρσενικοῦ. Τὰ δὲ βλαβερὸς, τρυφερὸς, καματηρὸς,, λυπηρὸς, ἀπατηλὸς, σιωπηλὸς, ἐκ τῶν ἀφῃρημένων βλάβη, τρυφὴ, κάματος, λύπη, ἀπάτη(α), σιωπή.

Περί τινων Παρωνύμων θηλυκῶν παραγομένων ἀπὸ ἀρσενικῶν.

Ἀπὸ τῶν εἰς αξ, αψ, ιξ, υς, ης ἀρσενικῶν μετασχηματίζονται εἴτε παράγονται τὰ θηλυκὰ ἀφαιρέσει τοῦ ληκτικοῦ συμφώνου καὶ προσλήψει τοῦ σσα: οἷον ἄναξ, φὰψ, Φοίνιξ, Κίλιξ; Λίβυς, Κρὴς· ἄνασσα, φάσσα, Φοίνισσα, Κίλισσα, Λίβυσσα. Κρῆσσα· πλὴν τοῦ κολακὶς, φυλακὶς, ἐκ τοῦ κόλαξ, φύλαξ.

Ἀπὸ τῶν εἰς ας ἐκθλίψει τοῦ α: οἷον ὁ νεανίας, ἡ νεανίς.

Ἀπὸ τῶν εἰς ευς ἀφαιρέσει τοῦ ευς καὶ προσλήψει του εια,

(α) Τὰ δὲ ἁμαρτία ἁμαρτωλός· γῆρας, γηραιός· διπλοῦς, διπλάσιος· δόλος, δολερός· ἔμπορος, ἐμπόριον· Ἴλιον, Ἰλιάς· μάχη, μάχιμος· οἶκος, οἰκέτης· πόλις, πολίτης· σιγαλὸς, σιγαλόεις καὶ σιγαλέος· ὕπνος, ὑπνηλός· τέλος, τελώνης· χαλκὸς, χαλκεύς· ὠφέλημα, ὠφέλιμος, καὶ τὰ ὅμοια ἡ παρατήρησις διδάξει, ὅτι παράγονται τὰ δεύτερα ἐκ τῶν πρώτων·

ις, ισσα: οἷον ἱερεὺς, ἱέρεια· βασιλεὺς, βασίλεια καὶ βασιλὶς καὶ βασίλισσα· πανδοχεὺς, πανδόχισσα· οἷς ἠκολούθησε καὶ τὸ Αἰθιόπισσα· ἀπὸ δὲ τοῦ βαλανεὺς οὐ μόνον βαλανὶς καὶ βαλάνισσα, ἀλλὰ καὶ βαλανεύτρια κατὰ τὸ κουρεύτρια ἐκ τοῦ κουρεύς.

Ἀπὸ τῶν εἰς ην προσλήψει τοῦ ις: οἷον Ἕλλην, Ἑλληνίς.

Ἀπὸ τῶν εἰς ηρ ἀφαιρέσει τοῦ ηρ καὶ προσλήψει τοῦ ηρα: οἷον δοτὴρ, θρέπτηρ, σωτήρ· δότειρα, θρέπτειρα, σώτειρα· πλὴν τοῦ σημαντὴρ, σημαντρίς.

Ἀπὸ τῶν εἰς της πρωτοκλίτων ἡ τροπὴ μόνη τοῦ η εἰς ι βραχύ: οἷον λαχανοπώλης, λαχανόπωλις· πολίτης, πολῖτις. Σκύθης, Σκυθίς· προφήτης, προφῖτις· ἀπὸ δὲ τοῦ δεσπότης ἡ δεσπότις καὶ δέσποινα· ἢ καὶ ἐπενθέσει τοῦ ρ: οἷον ἀλέτης, ἀλετρίς· αὐλητὴς, αὐλητρίς· ἀπὸ δὲ τοῦ ὀρχηστὴς, ὀρχηστρὶς καὶ ὀρχήστρια· πλὴν τοῦ θὴς, πένης· θῆσσα, πένησσα προσλήψει μόνη τοῦ σσα καὶ τοῦ ποιητὴς, προσκυνητὴς, ψάλτης· ποιήτρια, προσκυνήτρια, ψάλτρια, ἐκβολῇ τοῦ ης καὶ προσλήψει τοῦ ρια.

Ἀπὸ τῶν εἰς ος ἀφαιρέσει τοῦ ος καὶ προσλήψει ἢ τοῦ α: οἷον ἑκυρὸς, ἑκυρά· θεὸς, θεά· Μιλήσιος, Μιλησία· ἢ τοῦ η: οἷον ἀδελφὸς, ἀδελφή· ἢ τοῦ ας: οἷον Δήλιος, Λήμνιος· Δηλιὰς, Λημνιάς· ἢ τοῦ ις: αἰχμάλωτος, κάπηλος, σύμμαχος, στρατηγος, τύραννος, Αἴολος, Δῶρος, Φῶκος· αἰχμαλωτις, καπηλὶς, συμμαχὶς, στρατηγὶς, τυραννὶς, Αἰολὶς, Δωρὶς, Φωκίς· ἀπὸ δὲ τοῦ ἀμνὸς ἀμνὶς καὶ ἀμνάς· οἷς ἠκολούθησε καὶ τὸ Μεγαρίς· ἢ τοῦ αινα: οἷον θεὸς, θέαινα· λύκος, λύκαινα.


Ἀπὸ τῶν εἰς ων ἀφαιρέσει τοῦ ων καὶ προσλήψει τοῦ αινα: οἷον ἀλεκτρυὼν, δράκων, θεράπων, Λάκων, λέων, τέκτων·

ἀλεκτρύαινα, δράκαινα, θεράπαινα. Λάκαινα. λέαινα, τέκταινα.

Ἀπὸ τῶν εἰς ωρ ἀφαιρέσει τοῦ ωρ καὶ προσλήψει τοῦ ειρα: οἷον πανδαμάτωρ, πανδαμάτειρα· πλὴν τοῦ συλλήπτρια, συμπαίστρια, ὡς οὐκ ἀπὸ τῶν εἰς ωρ, ἀλλ' ἀπὸ τῶν εἰς ης ἀρχαιοτάτων: οἷον ἀπὸ τοῦ συλλήπτης, συμπαίστης.

Ἀπὸ τῶν εἰς ως ἀφαιρέσει τοῦ ς καὶ προσλήψει τοῦ ις, ινη, ισσα, ωσσα, ας: οἷον δμὼς, δμωΐς· ἥρως, ἡρωὶς, ἡρωΐνη, ἡρώνη καὶ ἡρώισσα, ἡρῷσσα (α)· Τρὼς, Τρωάς.

(α) Τὰ ἀπὸ τῶν ἀρσενικῶν παραγόμενα θηλυκὰ εἰς ασσα, ισσα, εσσα ησσα, τῷ διπλῷ γράφονται σσ, οἷον ἄνασσα, βασίλισσα, χαρίεσσα, Ἡρῷσσα, Κρῆσσα.



Περὶ Θέματος καὶ Ἀνωμαλίας τῶν Ῥημάτων.

Πᾶν Ῥῆμα σύγκειται ἐξ ἑνὸς ἐπιθέτου, ἥτις καὶ βάσις τοῦ ῥήματος λέγεται, καὶ ἐκ τοῦ ὑπαρκτικοῦ ῥήματος: ἔω, ὦ· ἔεις, εἷς· ἔει, εἶ: οἷον γράφω, γράφεις, γράφει, ἐκ τοῦ γραφεὺς καὶ ὦ, εἷς, εἶ, ἀποβολῇ τῆς ληγούσης ευς τοῦ ἐπιθέτου, καὶ προσλήψει τοῦ ω, εις, ει. Ἐπειδὴ δὲ ἡ βάσις σώζεται ἐναργῶς ἐν τῷ ἐνεστῶτι χρόνῳ, διὰ τοῦτο, θέμα παντὸς ῥήματος ὀνομάζεται ὁ ἐνεστὼς, ἐξ οὗ ἀφαιρεθέντος τοῦ ὑπαρκτικοῦ, ω, εις, ει, μένει ἡ βάσις γράφ, ἧς τὸ ληκτικὸν σύμφωνον, ἢ φωνῆεν στοιχεῖον τοῦ Θέματος ὀνομάζομεν.

Ἀλλ᾽ ἐπειδὴ τοῦ ῥήματος οἱ χρόνοι εἰσὶν ἓξ μόνοι, καὶ πᾶν ῥῆμα οὐκ ἔχει εὐχρήστους καὶ τοὺς ἓξ χρόνους, διὰ τοῦτο βιαζόμεθα ἵνα λαμβάνωμεν αὐτοὺς ἐκ διαφόρων μὲν θεμάτων, ἐχόντων μέντοι τὴν αὐτὴν σημασίαν, ὅπερ οἱ Γραμματικοὶ ὀνομάζουσιν ἀνωμαλίαν τῶν ῥημάτων: οἷον ἐκ τοῦ θέματος Λαμβάνω, μόνον ὁ Ἐνεστὼς καὶ ὁ Παρατατικός εἰσιν εὔχρηστοι, ὁ δὲ Μέλλων, ὁ Παρακείμενος καὶ ὁ Ὑπερσυντελικὸς ἐκ τοῦ λήβω, ὁ δὲ ἀντὶ ἀορίστου παρατατικὸς ἔλαβον ἐκ τοῦ λάβω.

Περὶ Αὐξήσεως καὶ Ἀναδιπλασιασμοῦ τῶν Ῥημάτων.

Εἰ μὲν τὸ Ῥῆμα ἄρχεται ἀπὸ συμφώνου, ὁ Παρατατικὸς ὁ Ἀόριστος καὶ ὁ Ὑπερσυντελικὸς τῆς Ὁριστικῆς προσλαμβάνουσιν ἐν τῇ ἀρχῇ ε, ὅπερ Συλλαβικὴ Αὔξησις καλεῖται: γράφω, ἔγραφον, ἔγραψα, ἐγεγράφειν· εἰ δὲ ἀπὸ φωνή-

εντος, οὐδὲν προσλαμβάνουσιν ἐνεργείᾳ· ἡ γὰρ συλλαβικὴ αὔξησις συναιρεῖται ἐν τῷ ἀρκτικῷ φωνήεντι.

Ὅθεν εἰ μὲν ἄρχεται ἀπὸ τῶν ἀμεταβόλων τούτων φωνηέντων: η, ω, ι, υ, καὶ διφθόγγων ευ, ει, ου, οὐδεμία μεταβολὴ γίνεται, εἰ μὴ μόνον τὸ ἀρκτικὸν βραχὺ φωνῆεν τοῦ Ἐνεςῶτος γίνεται μακρὸν ἐν τοῖς παρῳχημένοις, ὅπερ Χρονικὴ Αὔξησις καλεῖται: οἷον ἱκετεύω, ἱκέτευον καὶ ἱκέτευον· πλὴν τοῦ ἔωσμαι, ἐώσμην· ἐώνημαι, ἐωνήμην· προσλαμβανόντων συλλαβικὴν αὔξησιν καὶ φυλαττόντων αὐτήν.

Εἰ δὲ ἀπὸ τῶν μεταβολικῶν: α, ε, ο, αι, αυ, οι, τρέπεται τὸ α, ε εἰς η καὶ τὸ ο εἰς ω· τὸ δὲ ἐν ταῖς διφθόγγοις ι ὑπογράφεται: ἀκούω, ἤκουον· ἐλπίζω, ἤλπιζον· ὀνομάζω, ὠνόμαζον· αἴρω, ᾖρον· αὐξάνω, ηὔξανον· οἰκτείρω, ᾤκτειρον· πλήν τινων μὴ φυλαττόντων τὸν κανόνα διὰ τὸ δύσφθεγκτον, ἢ διὰ τὸ ἀσαφές: οἷον ἔαξα, ἔαγα, ἐάγειν, καὶ ἑάλων, ἑάλωκα, ἑαλώκειν, προσλαμβανόντων συλλαβικὴν αὔξησιν ἀντὶ τῆς χρονικῆς: ἥλων, ἥλωκα καὶ ἑώρακα, ἑωράκειν· καὶ ἀνέῳγα, ἀνεῴγειν, συλλαβικήν τε καὶ χρονικήν.

Καὶ τοῦ ἔοργα, ἔολπα· τρεπόντων τὸ ε εἰς ο, ἐκ τοῦ ἔλπω, ἔργω· τὸ δὲ ἑορτάζω, ἑώρταζον αὐξάνει χρονικῶς ἐν τῷ δευτέρῳ φωνήεντι.

Καὶ ἀηθέσω, ἀήθεσον· ἀηδίζομαι, ἀηδιζόμην· ἄω τὸ πνέω, ἆον· ἀΐω τὸ ἀκούω, ἄϊον. μὴ τρεπόντων τὸ α εἰς η·

Καὶ ἔχω, εἶχον· ἔπω, εἶπον· ἕλω, εἷλον· ἐςήκω, εἰςήκειν. ἕπομαι, εἱπόμην· ἐάω, εἴαον· ἐῶ, εἴων· ἐρέω, εἴρεον ἐξ οὗ εἴρηκα· ἑςιάω, εἱςίαον· ἑρπύζω, εἵρπυζον· ἕρπω, εἷρπον· ἕλκω, εἷλκον· ἑλκύω, εἵλκυον· ἐρύω, εἴρυον· ἐθίζω, εἴθιζον· ἔθω,

εἴωθα· ἔω, εἶμαι· ἐργάζομαι, εἰργαζόμην· ταῦτα γὰρ τρέπουσι τὸ ε εἰς ει ἐν τοῖς παρῳχημένοις.

Καὶ ἔτι πλὴν τῶν παραγομένων ἐκ τοῦ οἴαξ, οἶνος, οἰωνὸς, οἶμος, οἶστρος, καὶ τοῦ οἰδαίνω καὶ οἰκουρῶ, φυλαττόντων τὴν οι ἄτρεπτον: οἷον οἰακοστροφῶ, οἰακοστρόφησα· οἰνῶ, οἴνωσα· οἰωνίζομαι, οἰωνιζόμην· οἰμῶ. οἴμησα· οἰστρῶ, οἴστρησα.

Ὅταν ὁ Παρακείμενος συνάρχεται τῷ Παρατατικῷ: οἷον ἠγόραζον, ἠγόρακα. ἔφθειρον, ἔφθαρκα, πλὴν τοῦ μέμνημαι, κέκτημαι, μεμνημόνευκα, πέπτωκα· ὅταν δὲ ἄρχηται ἀπὸ βραχείας, ἢ κοινῆς, τότε ὁ παρακείμενος πρὸς τῇ συλλαβικῇ αὐξήσει λαμβάνει καὶ τὸ ἀρκτικὸν σύμφωνον τοῦ Ἐνεστῶτος, ὃ καλεῖται Ἀναδιπλασιασμὸς: οἷον ἔγραφον, γέγραφα· καὶ εἰ ἐστὶ δασὺ, τρέπεται εἰς τὸ ἀντίστοιχον ψιλὸν: φονεύω, πεφόνευκα· πλὴν τῶν ἀρχομένων ἀπὸ τοῦ γλ, ἢ γν, ἢ γρ: οἷον ἔγλυπτον, ἐγνώρικα, ἐγρηγόρηκα· τότε γὰρ οὐκ ἀναδιπλασιάζεται.

Ὅταν τὸ ῥῆμα ἄρχηται ἀπὸ τῶν μεταβολικῶν φωνηέντων οἱ Ἀττικοὶ ποιοῦσιν ἴδιον Παρακείμενον, τὰ ἀρκτικὰ δύο γράμματα τοῦ Ἐνεστῶτος προστιθέντες τῷ κοινῷ Παρακειμένῳ, καὶ τὴν τρίτην συλλαβὴν συστέλλοντες τοῦ τετρασυλλάβου, εἰ μακρὰ εἴη: οἷον ἐλεύθω, ἤλευθα. κοινῶς καὶ ἐλήλυθα Ἀττικῶς· ὀμῶ, ὤμοκα κοινῶς καὶ ὀμώμοκα Ἀττικῶς· πλὴν τοῦ ἐρήρεικα, ἐρήρειδα, ἐξ οὗ τὸ ἐρήρεισμαι. ἀλάω, ἀλήληκα. ὀρέω, ὀρῶ, ὀρώρηκα καὶ Ὑπερσυντελικὸς ὠρώρειν. τὰ γὰρ Ἀττκὰ τὰ ἀπὸ βραχέως ἀρχόμενα ἐν τῷ Παρακειμένῳ, μηκύνονται ἐν τῷ Ὑπερσυντελικῷ, πλὴν τοῦ ἑώκειν καὶ τὰ τοιαῦτα. τὰ γὰρ ἀρχόμενα ἀπὸ τοῦ εο μεταβιβάζουσι τὴν χρονικὴν αὔξησιν εἰς τὸ ο: οἷον ἑορτάζω, ἑώρταζον

Ὅταν δὲ ἄρχηται ἀπὸ τοῦ λ ἢ μ, οἱ Ἀττικοὶ ποιοῦσιν ἴδιον παρακείμενον ἐκβολῇ τοῦ λ ἢ μ καὶ προσλήψει τοῦ ι: οἷον λήβω, λέληφα κοινῶς καὶ εἴληφα Ἀττικῶς· μείρομαι, μέμαρμαι, καὶ εἵμαρμαι.

Οἱ Ἀττικοὶ αὔξησιν ἐπ' αὐξήσει ποιοῦσιν ἐνίοτε: ἐδυνάμην καὶ ἠδυνάμην· ἐβουλόμην καὶ ἠβουλόμην· ἔμελλον καὶ ἤμελλον λέγοντες.

Αἱ προθέσεις μετὰ τῶν Ῥημάτων εἰσὶν ἀεὶ ἐν συνθέσει, ὥςπερ καὶ μετὰ τῶν εὐθειῶν, καὶ τότε τὰ Ῥήματα αὐξάνουσιν ἔσωθεν μετὰ τὴν Πρόθεσιν ἐν ἀρχῇ τοῦ ῥήματος, ἀποβαλλομένου τοῦ φωνήεντος τῆς Προθέσεως, πλὴν τῆς πρὸ καὶ περὶ: οἷον ἀναγινώσκω, ἀνεγίνωσκον· ἀπαλλάττω, ἀπήλλαττον· ἀπογράφω, ἀπέγραφον· προλέγω, προέλεγον· περιγράφω, περιέγραφον.

Ὅταν δὲ τὸ ἁπλοῦν Ῥῆμα οὐδόλως ἢ σπανιώτατα εὑρίσκηται, τότε αὐξάνουσιν ἔξωθεν πρὸ τῆς προθέσεως: οἷον ἤνεπον, ἐκάθευδον, ἐκάθιζον, ἐκαθήμην. ἠνεχυρίαζον, ἠνεχύραζον, ἠφίουν, ἠντιβόλουν· πλὴν τοῦ ἀπέλαβον καὶ ἀπήλαυον· ἐνεκωμίαζον, προεφήτευον, προσεκύνουν, συνήργουν, ἐπετήδευον, ἐνεχείρουν, ἐξεκκλησίαζον, κατηγόρουν, κ. τ. λ. καὶ τοῦ Ἀττικοῦ καθηύδουν· οἱ γὰρ Ἀττικοὶ τρέπουσι τὸ ευ εἰς ηυ.

Ὅσα δὲ συντίθενται ἐξ ἄλλων τινων μερῶν, ἢ μορίων, ταῦτα πάντα αὐξάνουσιν ἔξωθεν: οἷον ἐδεινοπάθουν, ἠθύμουν, πλὴν τοῦ ἱπποτετρόφηκα καὶ τῶν συνθέτων ἐκ τοῦ δυς καὶ ευ ἔσωθεν αὐξανόντων: οἷον εὐηργέτουν, δυσηρέστουν.

Ὅταν δὲ μετὰ τὸ μόριον δυς ἢ ευ ἀκολουθῇ φωνῆεν ἄτρεπτον, ἢ σύμφωνον, τότε αὐξάνουσιν ἔξωθεν: οἷον ἐδυσώ-

πουν, ἐδυσφήμουν, ηὐτύχουν, καί τοι τὰ ἐκ τοῦ ευ σπανίως αὐξάνουσιν: οἷον εὐωχούμην:

Τὰ δὲ ἠνώχλουν, ἠνώρθουν, ἠνειχόμην (καὶ ἠνεσχόμην) ἐπαρῴνουν, διηκόνουν (καὶ ἐδιακόνουν) δεδιηκόνηκα, δεδιήτικα, διπλῆν τὴν αὔξησιν ποιοῦσιν· τὸ δὲ ἀνάλωκα, ἠνάλωκα, καὶ ἀνήλωκα, ἢ οὐδόλως αὐξάνει, ἢ αὐξάνει ἀδιαφόρως.

Πᾶσα αὔξησις χρονικὴ ἢ συλλαβικὴ ἐν μόνῃ τῇ Ὁριστικῇ Ἐγκλίσει φυλάττεται, ἐν δὲ ταῖς λοιπαῖς καὶ ταῖς Μετοχαις οὔ, πλὴν τοῦ Παρακειμένου καὶ τοῦ εἶπον.

Πᾶς ἀναδιπλασιασμος φυλάττεται ἐν πάσαις ταῖς ἐγκλίσεσι καὶ ταῖς Μετοχαῖς.

Περὶ Ἐνεργητικοῦ Μέλλοντος.

Ὁ Ἐνεςὼς μετασχηματίζεται εἰς Μέλλοντα προσλαμβάνων τ σὸ πρὸ τοῦ ληκτικοῦ ω, καὶ τρέπων τὸ σύμφωνον τοῦ θέματος, ὅπου ἐςι, τὸ μὲν γ ἢ χ εἰς τὸ ἀντίςοιχον κ, τὸ δὲ β ἢ φ εἰς π, ἢ ἀποβάλλων αὐτὸ, ἐὰν ἦ δ, ἢ θ, ἢ τ διὰ τὸ δύσφθεγκτον: οἷον λέγω, λέκσω: τρέχω, τρέκσω· τρίβω, τρίπσω· γράφω, γράπσω· φράδω, φράσω· πλήθω, πλήσω· ἀνύτω, ἀνύσω· κρίνω, κρίνσω· οὗ τινος τὸ δύσφθεκτον φεύγοντες οἱ Γραμματικοὶ, παρεντιθέντες τὸ ε μεταξὺ τοῦ ἀμεταβόλου καὶ τοῦ ω, καὶ ἀποβάλλοντες τὸ ἓν ἀμετάβολον, ἐὰν ὦσι δύο, ἢ τὸ ἓν φωνῆεν τῆς πρὸ τοῦ ἀμεταβόλου διφθόγγου, ἵνα βραχυπαραληκτῇ, ποιοῦσι περισπώμενον Ἐνεςῶτα, καὶ λαμβάνουσιν αὐτὸν ἀντὶ Μέλλοντος: οἷον κρινέω, κρινῶ ἀντὶ

κρίνσω· ψαλέω, ψαλῶ (α) ἀντὶ ψάλσω· σπερέω, σπερῶ ἀντὶ σπέρσω· τοῦτον οἱ Γραματικοὶ ἀκαταλλήκτως. β΄. Μέλλοντα ὀνομάζουσιν· ἐςι γὰρ μετάληψις περισπωμένου Ἐνεςῶτος ἀντὶ Μέλλοντος.

Ὅτι δὲ πολλάκις εἰώθασι σχηματίζειν τὰ βαρύτονα εἰς περισπώμενα, ἔχομεν ἱκανὰ παραδείγματα: οἷον ῥιπτέω, κτυπέω, μεμένηκα, τυπτήσω, ἀμελήσω, καθευδήσω· προσκείσθω δὲ τούτοις καὶ τὰ εἰς ζω ὑπερδισύλλαβα τῷ ι παραλήγοντα. ταῦτα γὰρ οἱ Ἀττικοὶ περισπώμενα ποιοῦντες ἐκβολῇ τοῦ ζ, ἵνα βραχυπαραληκτῶσι, καὶ ἐπενθέσει τοῦ ε καὶ συναιρέσει, ἀντὶ Μέλλοντος λαμβάνουσι τὸν Ἐνεςῶτα οἷον φροντιέω φροντιῶ ἀντὶ φροντίσω· τοιαῦτά ἐςι καὶ τὰ πίομαι καὶ ἔδομαι: Ἐνεςῶτες ἀντὶ Μελλόντων.

Ὅθεν καὶ λέγεται.

Τὰ εἰς ζω ὑπερδισύλλαβα τῷ ι παραλήγοντα ἐκβολῇ τοῦ ζ, καὶ τὰ εἰς ἀμετάβολον λήγοντα ἐκβολῇ τοῦ ἑνὸς ἀμεταβόλου, ἢ τοῦ ι τῆς διφθόγγου, ἵνα τὴν παραλήγουσαν βραχεῖαν ποιήσωσι, ποιοῦσι περισπώμενον Ἐνεςῶτα ἀντὶ Μέλλοντος.

Εἰ δὲ τὸ ςοιχεῖον τοῦ Θέματός ἐςι φωνῆεν μακρὸν, φυλάττει αὐτὸ καὶ ὁ Μέλλων: οἷον δακρύω, δακρύσω. εἰ δέ ἐςι βραχὺ, τρέπεται εἰς μακρὸν ἐν τῷ Μέλλοντι καὶ ἐν τῷ Ἀορίςω, Παρακειμένῳ καὶ Ὑπερσυντελικῷ: οἷον κωλύω, κωλύσω. βοάω, βοήσω. ποιέω, ποιήσω. χρυσόω, χρυσώσω, τρεπομένων τοῦ α καὶ ε εἰς η καὶ τοῦ ο εἰς ω, πλὴν τῶν ἐχόν-

(α) Τὰ εἰς λω περισπώμενα δι' ἑνὸς. λ γράφονται, οἷον καλῶ, ὠφελῶ, πλὴν τοῦ κολλῶ.

των πρὸ τοῦ α, ε ἢ ι, καὶ τῶν εἰς ραω ὑπερδισυλλάβων: οἷον ἐάσω, ἀνιάσω, ἐρασω. οἷς ἠκολούθησε καὶ τὸ δράσω.

Ταῦτα γὰρ ἔχουσι τὸ παραληκτικὸν α μακρὸν ἐν τῷ Μέλλοντι· καὶ πλὴν τῶν φυλαττόντων τὸ βραχὺ φωνῆεν τοῦ θέματος ἄτρεπτον καὶ βραχὺ ἐν τῷ Μέλλοντι: οἷον ἀκροάσω, γελάσω, θλάσω, ἱλάσω, κλάσω. πάσω, πετάσω, πλάσω, σπάσω, χαλάσω, τὸ δὲ σπήσω ἀντὶ τοῦ ἀκολουθήσω· καὶ πλὴν τοῦ αἰδέσομαι, ἀκέσω ἀλέσω, ἀρκέσω, δέσω, ἐμέσω, ζέσω, καλέσω, νεικέσω, ξέσω. ὀλέσω, τελέσω, τρέσω, φορέσω, μαχέσομαι καὶ μαχήσομαι, πονέσω τοῦ πόνου αἰσθανοῦμαι, τὸ δὲ πονήσω ἀντὶ τοῦ κοπιασω. κορέσω, τὸ δὲ κορήσω ἀντὶ τοῦ καθαρίσω· τὸ δὲ ἀνήσω καὶ κλήσω ἐξ οὗ τὸ κέκληκα καὶ τὸ χρήσομαι Ἰωνικά.

Καὶ ἔτι πλὴν τοῦ ἀρόσω, βόσω, ἐνόσω, ἀντὶ τοῦ κινήσω, ὀμόσω, ὀνόσω· καὶ ἀνύσω, ἀρύσω βύσω, ἑλκύσω, μεθύσω, πτύσω, τανύσω, βραχυπαραληκτούντων.

Καὶ πλὴν τοῦ ἐπαινέσω, ἐπήνημαι ἐπηνέθην· ποθέσω καὶ ποθήσω, πεπόθημαι, ἐποθέσθην· δέσω καὶ δήσω, δέδεμαι, ἐδέθην· αἱρέσω, ἥρηκα, ἥρημαι. ἡρέθην· εὑρήσω, εὕρημαι, εὑρέθην· ῥέω, ἔῤῥημαι, ἐῤῥέθην, ἐξ οὗ τὸ ῥηθείς. τραπῇ τοῦ ε εἰς η, ἅτινα τρέπουσι μὲν τὴν βραχεῖαν παραλήγουσαν τοῦ Ἐνεστῶτος ἐν τῷ Μέλλοντι, ἐν δὲ τῷ Παρακειμένῳ καὶ Ἀορίστῳ ἢ ἐν θατέρῳ φυλάττουσιν αὐτὴν ἄτρεπτον.

Καὶ πλὴν τινων εἰς υα δισυλλάβων· τούτων γὰρ ἡ μακρὰ παραλήγουσα τοῦ Μέλλοντος συστέλλεται ἐν τῷ Παρακειμένῳ καὶ Ἀορίστῳ: οἷον δυσω, θύσω, λύσω, λέλημαι ἐλύθην. κ. τ. λ.

Τῶν δὲ εἰς εω δισυλλάβων τῶν κατὰ τὸ δεύτερον καὶ τρίτον ἑνικὸν μόνον συναιρουμένων τὰ ἓξ ταῦτα: θέω, νέω, πλέω, πνέω, ῥέω, χέω παραλήγουσιν ἐν τῷ Μέλλοντι εἰς ευ: οἷον θεύσω, νεύσω, πλεύσω, πνεύσω, ῥεύσω, χεύσω, ὡς ἐκ τοῦ ἀρχαίου θέματος θεύω, νεύω, πλεύω, πνεύω, ῥεύω, χεύω· τοιαῦτα καὶ τὰ βαρύτονα: καίω, καύσω· κλαίω, κλαύσω, ἐκ τοῦ καύω, κλαύω.

Τὸ δὲ ἀλέξω, ἀλεξήσω· αὔξω, αὐξήσω· ἕψω, ἑψήσω, κατὰ συγκοπὴν ἐκ του ἀλεξέω, αὐξάω, ἑψέω, ὁ γὰρ Μέλλων ἰσοσυλλαβεῖ τῷ ἰδίῳ Ἐνεστῶτι.

Περὶ Ἀορίστου.

Ὁ Μέλλων μετασχηματίζεται εἰς Ἀόριστον ἀμοιβῇ τοῦ ω εἰς α βραχὺ καὶ αὐξήσει χρονικῇ, ἢ συλλαβικῇ, φυλλατομένης τῆς αὐτῆς παραληγούσης καὶ τοῦ αὐτοῦ συμφώνου: οἷον γράψω, ἔγραψα· ἀκούσω, ἤκουσα. τὸ δὲ ἐλέλιξα καὶ ἐκέκραξα κατὰ ἀναδιπλασιασμόν. Ἐξαιροῦνται τὰ ἔδωκα, ἔθηκα, ἤνεγκα, ἧκα, εἶπα, μὴ φυλάττοντα τὸ σύμφωνον τοῦ Μέλλοντος, καὶ τὰ ἔχεα, ἔκηα ἐκ τοῦ κάω, ἔκασα, ἔκησα, ἔκηα, ἀποβάλλοντα τὸ σ· τὸ μὲν διὰ τὸ δύσφθεγκτον, τὸ δὲ διὰ τὸ ἀσαφές.

Καὶ ἔτι τὰ εἰς ἀμετάβολον λήγοντα· τούτων γὰρ οἱ Ἀόριστοι φύσει μακρᾷ παραλήγουσιν. Ὅθεν εἰ μὲν ὁ Μέλλων τῷ ε παραλήγει, ὁ Ἀόριστος προσλαμβάνει τὸ ι εἰς ἀποδιφθόγγωσιν: οἷον σπερῶ. ἔσπειρα· μενῶ, ἔμεινα· εἰ δὲ τῷ α, ἢ τρέπει εἰς η ἔθει Ἀττικῷ: οἷον ψαλῶ, ἔψαλα καὶ ἔψηλα· σημανῶ, ἐσήμανα καὶ ἐσήμηνα· εὐφρανῶ, εὔφρανα καὶ εὐφρᾶναι· μαρα-

νῶ, ἐμάρανα καὶ μαρᾶναι· περανῶ, ἐπέρανα καὶ περᾶναι. τοιοῦτον καὶ τὸ ἀρῶ, ἦρα παραλῆγον τῷ η διὰ τὴν χρονικὴν αὔξησιν· ὅθεν Απαρέμφατον ἆραι.

Δῆλον δὲ, ὅτι οὐ δεῖ ὑπογράφειν τὰς τοιαύτας παραληγούσας διὰ τὴν ἀποβολὴν τοῦ ι ἐκ τοῦ, ἀντὶ Μέλλοντος, περισπωμένου Ενεςῶτος.

Ὁ δὲ λεγόμενος Αόριςος β΄. ἐςι κυρίως Παρατατικὸς, λαμβανόμενος ἀντὶ Αορίςου· καὶ γὰρ ἀναντἡῤῥητόν ἐςιν, ὅτι οὐ μόνον οἱ Ποιηταὶ, ἀλλὰ καὶ οἱ Λογογράφοι λαμβάνουσι τοὺς Παρατατικοὺς ἀντὶ Αορίςων.

Καί τινων μὲν ῥημάτων, ὧν τὸ θέμα εὔχρηςον, λαμβάνεται ὁ Παρατατικὸς ἐπὶ σημασίας Παρατατικοῦ καὶ Αορίςου: οἷον ᾐσθόμην, ἐπριάμην, ἔκλυον, ἐτίθην, ἐδίδων καὶ κατὰ συγκοπὴν εθην, ἔδων· τινῶν δὲ, ὧν τὸ Θέμα ἄχρηςον, μόνον ἐπὶ σημασίας Αορίςου: οἷον δράμω, ἔδραμον· λάβω, ἔλαβον· λάθω, ἔλαθον· τράπω, ἔτραπον· κάω, ἔκαον· φάνω, ἔφανον· φύγω, ἔφυγον· λίπω, ἔλιπον· εὑρέω, εὕρεον καὶ κατὰ συγκοπὴν εὗρον· σχέω, ἔσχεον καὶ ἔσχον· ςῆμι, ἔςην· ἔπω, εἶπον· εἴδω, εἶδον· κ. τ. λ.

Τούτων οἱ μὲν ἐνεργητικοὶ περισπῶνται ἐν τῷ Απαρεμφάτῳ, καὶ ὀξύνονται ἐν τῇ Μετοχῇ· οἱ δὲ παθητικοὶ καὶ μέσοι περισπῶνται ἐν τῷ δευτέρῳ ἑνικῷ τῆς προςακτικῆς, τῶν λοιπῶν προσώπων σχηματιζομένων κατὰ συγκοπὴν, καὶ παροξύνονται ἐν τῷ Απαρεμφάτῳ: οἷον ἔσχον, σχεῖν, σχὼν, σχοῦ, σχέσθω, σχέσθαι.

Πρὸς δὲ τούτοις γίνεται δῆλον τὸ λεγόμενον καὶ ἐκ τῶν ἑξῆς δύο κανόνων τῶν Γραμματικῶν.

Α. Ὁ β΄. Αόριςος σχηματίζεται ἐκ τοῦ ἁπλοῦ καὶ ἀρ-

χαίου θέματος: οἷον ἐκ τοῦ λάβω τὸ ἔλαβον, κ. τ. λ. τῶν διπλοῦν ἐχόντων Θέμα.

Β΄. Ὁ β΄. Ἀόριςός ἐςιν ὁ αὐτὸς τῷ Παρατατικῷ τοῦ ἀχρήςου ἀρχαίου θέματος: οἷον εἶδον, εἷλον, ἐκ τοῦ εἴδω, ἕλω.

Διὰ τούτων τῶν κανόνων ἔλαθον ὁμολογήσαντες οἱ Γραμματικοὶ, ὅτι οἱ λεγόμενοι παρ᾽ αὐτοῖς β΄. Ἀόριςοι, εἰσὶ τῷ ὄντι Παρατατικοὶ τοῦ ἰδίου Θέματος, ἀντὶ Ἀορίςων λαμβανόμενοι· τὸ γὰρ Θέμα παντὸς ῥήματος ἕν ἐςιν, ἀλλ᾽ οὐχὶ δύο: οἷον βαλέω, βαλῶ· ἐβάλεον καὶ κατὰ συγκοπὴν ἔβαλον· κτάνω, ἔκτανον· φθάρω, ἔφθαρον.

Περὶ Παρακειμένου.

Ὁ Παρακείμενος μετασχηματίζεται ἀπὸ τοῦ Ἐνεςῶτος ἀμοιβῇ τοῦ ω εἰς α βραχὺ, καὶ αὐξήσει χρονικῇ, ἢ συλλαβικῇ καὶ ἀναδιπλασιασμῷ, ὡς εἴρηται ἐν τῷ περὶ αὐξήσεως καὶ ἀναδιπλασιασμοῦ, φυλαττομένου τοῦ κατὰ τὸ Θέμα ςοιχείου δασέος ὄντος, πλὴν τοῦ θ καὶ τῶν ἀντιςοίχων δ, τ· ἀποβαλλομένων, καὶ μεταλαμβανομένου τοῦ κ· ἄλλου δὲ τρεπομένου εἰς τὸ ἀντίςοιχον δασύ: οἷον ᾄδω, ᾖκα· ἀνύτω, ἤνυκα· γράφω, γέγραφα· πλάθω, πέπλακα· τρίβω, τέτριφα· λέγω, λέλεχα·

Εἰ δ᾽ ἔςι τὸ ςοιχεῖον τοῦ Θέματος ἀμετάβολον, ἢ φωνῆεν, προσλαμβάνουσι τὸ κ πρὸ τοῦ α, τὸ δὲ ἓν ἀμετάβολον ἢ φυλάττεται, ἢ τρέπεται, ἢ ἀποβάλλεται διὰ τὸ δύσφεγκτον:

οἷον ἀκούω, ἤκουκα· ψάλλω, ἔψαλκα(α)· μολύνω, μεμόλυγκα· κρίνω, κέκρικα(6)·

Φυλάττει δὲ ὁ Παρακείμενος τὴν παραλήγουσαν τοῦ Μέλλοντος. Ἐξαιρεῖται

Ἁ. Ὁ παραλήγων τῇ ει ἔθει Βοιωτικῷ: οἷον τέθεικα.

Β'. Ὁ μεταβάλλων τὴν παραλήγουσαν εἰς διάκρισιν ἑτέρου: οἷον ἔϛακα εἰς διάκρισιν τοῦ ἔϛηκα ἀπὸ τοῦ ἑϛήκω.

Γ'. Τὰ εἰς ἀμετάβολον λήγοντα δισύλλαβα τῷ ε παραλήγοντα· ταῦτα γὰρ τὸ ε τοῦ ἀντὶ Μέλλοντος περισπωμένου Ἐνεϛῶτος εἰς α τρέπουσιν ἐν τῷ Παρακειμένῳ: οἷον σπερῶ, ἔσπαρκα· ϛελῶ, ἔϛαλκα· κτενῶ, ἔκτακα.

Δ'. Τὰ εἰς 6, π, φ· ἢ γ, κ, χ λήγοντα δισύλλαβα καὶ τῷ ε παραλήγοντα· ταῦτα γὰρ τρέπουσι τὸ ε εἰς ο ἔθει Ἀττικῷ: οἷον φέρ6ω, πέφορ6α· πέμπω, πέπεμφα κοινῶς καὶ πέπομφα Ἀττικῶς· τρέφω, τέτρεφα καὶ τέτροφα· λέγω, λέλογα· τέκω, τέτοκα· εἴκω, οἶκα καὶ ἔοικα· βρέχω, βέ6ροχα· οἷς ἠκολούθησε καὶ τὸ δείω, δέδοικα· εἴδω, οἶδα· λείπω, λέλοιπα.

(α) Διότι οὐχ εὕρηται ἐν ἁπλῇ λέξει τρία σύμφωνα ἀμέσως κείμενα, ὧν τὰ δύο ταυτοδυναμεῖ.

(6) Ὅτι τὰ εἰς ινω, εινω, υνω δυσύλλαβα ἀπο6άλλουσι τὸ ν ἐν τῷ Παρακειμένῳ καὶ βραχυπαραληκτοῦσιν, οἷον κέκρικα, ἔκτακα, πέπλυκα· τὰ δὲ εἰς ύνω, αινω ὑπερδισύλλαβα τρέπουσι τὸ ν εἰς γ, οἷον μεμόλυγκα, ὕφαγκα, (πλὴν τοῦ κεκέρδακα) ὅτι τὸ ν πρὸ τοῦ γ, κ, ξ, χ, εἰς γ τρέπεται· πρὸ δὲ τοῦ β, π, φ, ψ τρέπεται εἰς μ. πρὸ δὲ τοῦ λ, μ, ν, ρ, σ τρέπεται εἰς τὰ αὐτὰ οἷον συγγνώμη, σύγκρισις, συγξύω, σύγχυσις, συμ6ολὴ, συλλα6ὴ, συμμετρία, σύννοια, συῤῥοὴ, σσσίτιον. πρὸ δὲ τοῦ ζ, ϛ, ἀπο6άλλεται, πλὴν τοῦ ἔνζυμον.

Ε΄. Τὰ σχηματίζοντα τὸν Παρακείμενον διὰ μόνης τῆς ἀμοιβῆς τοῦ ω εἰς α, καὶ τῆς αὐξήσεως, ἢ ἀναδιπλασιασμοῦ, καὶ φυλάττοντα αὐτὸν ἀεὶ μακροπαράληκτον: οἷον λήθω, λέληθα· ὄδω, ὧδα καὶ ὄδωδα· πλήγω, πέπληγα· σήπω, σέσηπα· φεύγω, πέφευγα· φρίκω, πέφρικα· ὅθεν καὶ θάλλω, θαλῶ, τέθηλα· δαίω, δέδηα· κράγω, κέκραγα.

Κατὰ μίμησιν οὖν τῶν τοιούτων Παρακειμένων σχηματίζουσιν οἱ Γραμματικοὶ ἀπὸ παντὸς σχεδὸν Ῥήματος, οὓς καὶ Μέσους ἢ Δευτέρους ὀνομάζουσιν: οἷον ἀνώγω, ἤνωγα· δούπω (ἐξ οὗ τὸ δουπῶ), δέδουπα· λέγω, λέλογα· τέκω, τέτοκα· φέρϐω, πέφορϐα· οἵτινες οὕτω φιλοῦσι παραλήγειν τῷ ο, ὥςε οὐ μόνον τὸ τοῦ Μέλλοντος παραλῆγον ε τρέπουσιν εἰς ο, ἀλλὰ καὶ τὴν ει τρέπουσιν εἰς οι: οἷον σπερῶ, ἔσπορα· εἴδω, οἶδα· λείπω, λέλοιπα· εἴκω, οἶκα καὶ ἔοικα· τὸ δὲ ἔῤῥωγα ἀπὸ τοῦ ῥήγω τροπῇ τοῦ η εἰς ω· καὶ τοῦ εἴωθα ἀπὸ τοῦ ἔθω, εἶθα ἐπενθέσει τοῦ ω· καὶ ἔτι τὸ ἀγήοχα, ἐνήνοχα, ἀνήνοθα καὶ ἐνήνοθα ἐπενθέσει τοῦ ο, ἢ τροπῇ τοῦ ε εἰς ο: οἷον ἄγω, ἦχα, ἀγῆχα καὶ ἀγήοχα· ἐνέχω (ἐξ οὗ τὸ ἐνέγκω), ἤνεχα, καὶ ἐνήνεχα καὶ ἐνήνοχα· ἄνθω (ἐξ οὗ τὸ ἀνθῶ), ἦνθα, ἀνῆνθα, καὶ ἀνήνοθα· ἐνάνθω, ἐνῆνθα καὶ ἐνήνοθα. Τὸ δὲ ἐδήδοκα ἐκ τοῦ ἔδω, ἧκα, ἐδῆκα καὶ ἐπενθέσει τῆς δο ἐδήδοκα.

Τὸ δὲ ἀφέωνται οὐκ ἀπὸ τοῦ ἀφεῖνται, ἀλλ' ἀπὸ τοῦ ἀφίενται, τροπῇ τοῦ ι εἰς ε καὶ τοῦ ε εἰς ω.

Πᾶς δὲ παρακείμενος εἰς κα μακρᾷ παραλήγων, εἰ ἀποϐάλλει τὸ κ, συςέλλει τὴν παραλήγουσαν ἔθει Ἰωνικῷ: οἷον βέϐηκα, βέϐαα· τέθνηκα, τέθναα· δέδοικα, δέδια· γάω, γέγηκα, γέγαα· τοῦ δὲ δέδαα καὶ μέμαα ὁ εἰς κα Παρακείμενος ἐξέλιπε.

Πάντες οἱ τοιοῦτοι Παρακείμενοι καὶ Ὑπερσυντελικοὶ πάσχουσι συγκοπὴν ἐν τῷ Δυϊκῷ καὶ Πληθυντικῷ ἀριθμῷ: οἷον ἕϛατον ἀντὶ ἑϛάατον, ἕϛαμεν ἀντὶ ἑϛάαμεν· τὸ δὲ τρίτον τοῦ πληθυντικοῦ καὶ ἡ Μετοχὴ συναιροῦνται: οἷον ἑϛᾶσι ἀντὶ ἑϛάασι· καὶ ἑϛὼς, ἑϛῶτος ἀντὶ ἑϛαὸς, ἑϛαότος· ὅθεν ἐκτὸς τοῦ τρίτου πληθυντικοῦ ἐν πᾶσι τοῖς ἄλλοις σχηματισμοῖς τὸ παραληκτικὸν α ἔϛιν ἀεὶ βραχὺ ὡς κατὰ συγκοπὴν, ἀλλ᾽ οὐ κατὰ συναίρεσιν: οἷον ἕϛατον, ἕϛαμεν, ἑϛάναι.

Ἐπειδὴ δὲ διὰ τῆς τοιαύτης συγκοπῆς συμπίπτουσιν ὁ Παρακείμενος καὶ Ὑπερσυντελικὸς τῷ Ἐνεϛῶτι καὶ Παρατατικῷ τῶν εἰς μι, διὰ τοῦτο σχηματίζονται κατὰ τὰς ἄλλας Ἐγκλίσεις ὁμοίως ἐκείνοις: οἷον τέθναθι, τεθναίην, τεθνάναι.

Περὶ παθητικοῦ Παρακειμένου.

Ὁ Παθητικὸς Παρακείμενος σχηματίζεται ἀπὸ τοῦ Ἐνεργητικοῦ τροπῇ τοῦ α εἰς μαι καὶ τοῦ φ εἰς μ, ἢ τοῦ χ εἰς γ: οἷον γέγραφα, γέγραμμαι· λέλεχα, λέλεγμαι· τὸ δὲ κ τρέπεται μὲν εἰς σ, ὅτε ἢ τὸ ϛοιχεῖον τοῦ Θέματός ἐϛι δ, ἢ ζ, θ, ἢ ἡ παραλήγουσα τοῦ ἐνεργητικοῦ βραχεῖα: οἷον πείθω, πέπεικα, πέπεισμαι (α)· ᾄζω ᾖκα, ᾖσμαι· λακτίζω, λελάκτικα, λελάκτισμαι· πλήθω, πέπληκα, πέπλησμαι· ἔσβεκα, ἔσβεσμαι· πλὴν τοῦ δέδεμαι, ἥλαμαι, κέκαδμαι, κεκόρυθμαι.

(α) Πρὸ ἑτέρου σ ἀποβάλλεται, οἷον πέπεισμαι, πέπεισαι ἀντὶ πέπεισσαι, καὶ τρίτον πληθυντικὸν πέπεισνται. καὶ τροπῇ τοῦ σ εἰς τὸ ϛοιχεῖον τοῦ θέματος καὶ τοῦ ν εἰς α, πεπείθαται Ἰωνικῶς.

Ἀποβάλλεται δὲ, ὅτε ἢ τὸ ςοιχεῖόν ἐςιν ἀμετάβολον, ἢ ἡ παραλήγουσα τοῦ Ἐνεργητικοῦ Παρακειμένου ἐςὶ μακρά: οἷον ἔψαλκα, ἔψαλμαι· ἔσπαρκα, ἔσπαρμαι· πεποίηκα, πεποίημαι· πλὴν τοῦ δέδρασμαι, ἔγνωσμαι, ἔζωσμαι, ἔπταισμαι, ἔῤῥυσμαι, ἐῤῥύσθην· ἐράω, ἤρακα, ἤρασμαι· ἤκουσμαι, κεκέλευσμαι, κεκέρασμαι, κέκρουσμαι, κέχρωσμαι, μεμέθυσμαι, νάω, νένακα, νένασμαι· πεπέρασμαι, τέθραυσμαι, φρέω, πέφρηκα, πέφρησμαι· ὤρχησμαι, ἅτινα λαμβάνουσι τὸ σ, καίτοι μακροπαραληκτοῦντα· τὸ δὲ κεκόνισμαι, κεκύλισμαι, πέπλησμαι, πέπρησμαι, πέπρισμαι, ἐκ τοῦ κονίζω, κυλίζω, πλήθω, πρήθω, πρίζω.

Τὸ δὲ ἀπὸ τοῦ ν τραπὲν γ τὸ πρὸ τοῦ κ τοῦ Ἐνεργητικοῦ Παρακειμένου τρέπεται κοινῶς εἰς μ πρὸ τοῦ μ τοῦ Παθητικοῦ, πρὸ δὲ τοῦ σ ἢ τ τρέπεται πάλιν εἰς ν: οἷον μεμόλυγκα, μεμόλυμμαι, μεμόλυνσαι, μεμόλυνται· μεμίαγκα, μεμίαμμαι· ἐξήραγκα, ἐξήραμμαι· ὡς ἐπὶ τὸ πλεῖςον δὲ τρέπετει εἰς σ Ἀττικῶς: οἷον μεμίασμαι καὶ μεμόλυσμαι· ἐνίοτε δὲ καὶ ἀποβάλλεται μακρᾶς μενούσης τῆς παραληγούσης: τετράχυγκα, τετράχυμαι.

Ἀεὶ ὁ Παθητικὸς Παρακείμενος τὴν αὐτὴν παραλήγουσαν ἔχει τῷ Ἐνεργητικῷ: οἷον γέγραφα, γέγραμμαι· πεποίηκα, πεποίημαι· τέθεικα, τέθειμαι, πλὴν τοῦ πέπωκα, πέπομαι· δέδωκα, δέδομαι· τρεπόντων τὸ ω εἰς ο· καὶ πέπνευκα, πέπνυμαι· τέτευχα, τέτυγμαι· πέφευγα, πέφυγμαι, τρεπόντων τὴν ευ εἰς υ μακρόν,

Καὶ πλὴν τῶν δισυλλάβων τῷ ε παραληγόντων, καὶ τρεπόντων τὸ ε εἰς ο ἐν τῷ Ἐνεργητικῷ Παρακειμένῳ ἔθει Ἀτ-

τικῷ· τούτων γὰρ οἱ παθητικοὶ Παρακείμενοι ἀναλαμβάνουσι τὴν παραλήγουσαν τοῦ Ἐνεστῶτος: οἷον λέγω, λέλοχα, λέλεγμαι· κλέπτω, κέκλοφα, κέκλεμμαι καὶ κέκλαμμαι.

Καὶ ἔτι πλὴν τῶν ἐχόντων τὸ ρ μετ' ἐπιπλοκῆς συμφώνου· τούτων γὰρ οἱ Παθητικοὶ Παρακείμενοι τρέπουσι τὸ ε εἰς α: οἷον στρέφω, ἔστρεφα, ἔστραμμαι· ἐξαιρεῖται τὸ βρέχω, βέβροχα, βέβρεγμαι.

Περὶ Παθητικοῦ Ἀορίστου.

Ὁ Παθητικὸς Ἀόριστος σχηματίζεται ἀπὸ τοῦ Παθητικοῦ Παρακειμένου τροπῇ τοῦ μαι εἰς θην, ἢ εἰς ην καὶ ἀποβάλλων τὸ σύμφωνον τοῦ ἀναδιπλασιασμοῦ: οἷον γέγραμμαι, ἐγράφθην καὶ ἐγράφην. ἤκουσμαι, ἠκούσθην.

Καὶ εἰ μὲν ὁ Παθητικὸς Παρακείμενος πρὸ τοῦ μ ἔχει σ, ἢ λ, ἢ ρ, φυλάττει αὐτὰ καὶ ὁ Ἀόριστος: οἷον ἤκουσμαι ἠκούσθην· ἔψαλμαι. ἐψάλθην· ἔσπαρμαι, ἐσπάρθην καὶ ἐσπάρην, πλὴν τοῦ σέσωσμαι. ἐσώθην ἀποβάλλοντος τὸ σ, καὶ μέμνημαι, ἐμνήσθην προσλαμβάνοντος αὐτό.

Εἰ δὲ ὁ Παρακείμενος πρὸ τοῦ μαι ἔχει μ τραπὲν μὲν ἐκ τοῦ φ. ὁ Ἀόριστος εἰς θην μὲν λήγων προσλαμβάνει τὸ φ, εἰς ην δὲ. τὸ ἀντίστοιχον π· τραπὲν δὲ ἐκ τοῦ ν, ὁ Ἀόριστος προσλαμβάνει πάλιν τὸ ν: τέτυμμαι. ἐτύφθην καὶ ἐτύπην· μεμίασμαι ἐμιάνθην.

Εἰ δε ὁ Παρακείμενος πρὸ τοῦ μαι ἔχει γ, ὁ Ἀόριστος εἰς θην μὲν λήγων, προσλαμβάνει χ. εἰς ην δε, φυλάττει τὸ γ: οἷον λελεγμαι, ἐλέχθην καὶ ἐλέγην.

Τὴν αὐτὴν παραλήγουσαν ἔχει ὁ Ἀόριςος τῷ Παθητικῷ Παρακειμένῳ: οἷον πεποίημαι, ἐποιήθην· πλὴν τοῦ εὕρημαι, εὑρέθην· ἔσχημαι, ἐσχέθην· ἐπήνημαι, ἐπηνέθην· ῥέω, ἔῤῥημαι, ἐῤῥέθην· ᾕρημαι, ἡρέθην, τέθειμαι, ἐτέθην· ἀφεῖμαι, ἀφέθην· καὶ ἔτι τοῦ μέμνημαι, ἐμνήσθην· καὶ λέλουμαι, ἐλούσθην· καὶ πέπαυμαι, ἐπαύσθην· προσλαμβάνοντός τὸ σ, καὶ σέσωσμαι, ἐσώθην· ἀποβάλλοντος αὐτό· τὸ δὲ ἐῤῥώσθην ἀπὸ τοῦ ῥώζω.

Καὶ ἔτι πλὴν τῶν ἐχόντων τὸ ρ μετ' ἐπιπλοκῆς συμφώνου: οἷον ἔςραμμαι, ἐςρέφθην καὶ ἐςράφην· τέτραμμαι, ἐτρέφθην καὶ ἐτράπην, τρεπομένου τοῦ α εἰς ε, ὅταν λήγῃ εἰς θην· ἢ φυλαττομένου, ὅταν εἰς ην, καὶ φυλάττηται τὸ ςοιχεῖον τοῦ Θέματος.

Ὁ δὲ λεγόμενος Παθητικὸς Β′. Ἀόριςος κλίνεται κατὰ τὸν Παθητικὸν Α. Ἀόριςον, ὡς εἴρηται, τροπῇ τοῦ μαι εἰς ην, ἢ ἀφαιρέσει τοῦ θ, καὶ τροπῇ τοῦ πρὸ τοῦ θ δασέος εἰς τὸ τοῦ Θέματος ςοιχεῖον ψιλὸν, ἢ μέσον ὄν· ὥςε ἐςὶν ὁ αὐτὸς τῷ Α. οἷον ἐτύφθην, ἐτύπην· ἐπλήχθην, ἐπλήγην καὶ ἐπλάγην· τροπῇ τοῦ η εἰς α· τέτριμμαι, ἐτρίφθην, καὶ ἐτρίβην.

Περὶ δὲ τοῦ λεγομένου Μέσου Ἀορίςου Β′. πασίδηλον, ὅτι ἐςὶ παθητικὸς Παρατατικὸς: οἷον γένομαι, ἐγενόμην· ἔρομαι, ἠρόμην· τύπομαι, ἐτυπόμην· ἀντὶ Ἀορίςου λαμβανόμενος.

Οἱ Παρατατικοὶ, οἱ Ὑπερσυντελικοὶ, καὶ οἱ Παθητικοὶ καὶ Μέσοι Μέλλοντες, ὅθεν καὶ ὅπως σχηματίζονται, ῥᾴδιόν ἐςὶ

καταμαθεῖν διὰ μικρᾶς παρατηρήσεως ἄνευ τῆς βοηθείας τῶν κανόνων· πρόδηλον γάρ ἐϛιν, ὅτι οἱ Παρατατικοὶ σχηματίζονται ἀπὸ τῶν Ἐνεϛώτων, φυλαττομένης τῆς τροπῆς, ἢ αὐξήσεως· οἱ δὲ Ὑπερσυντελικοὶ παρὰ τῶν Παρακειμένων, φυλαττομένης τῆς τροπῆς, ἢ τοῦ ἀναδιπλασιασμοῦ, προσλαμβάνοντες ἔτι καὶ τὴν συλλαβικὴν αὔξησιν πρὸς τῷ ἀναδιπλασιασμῷ· Ὁ δὲ Μέσος Μέλλων, ὅς ἐϛιν ὁ ἀρχαῖος Παθητικὸς Μέλλων ἐκ τοῦ ἐνεργητικοῦ Μέλλοντος, ὡς καὶ ὁ Μέσος Ἀόριϛος ὁ ἀρχαῖος Παθητικὸς ἐκ τοῦ ἐνεργητικοῦ Ἀορίϛου: γράψω, γράψομαι· ἔγραψα, ἐγραψάμην.

Ὁ δὲ Παθητικὸς Μέλλων ἐκ τοῦ Παθητικοῦ Ἀορίϛου, ὧν μετὰ ταῦτα ἐπινοηθέντων, καὶ ἀντὶ Παθητικῶν ληφθέντων, ἐλήφθησαν οἱ ἀρχαῖοι Παθητικοὶ Μέλλων καὶ Ἀόριϛος ἀντὶ Μέσων.



Περὶ τῶν Μακροκαταλήκτων Ὀνομάτων.

Πάντα τὰ εἰς α λήγοντα θηλυκὰ μονογενῆ ὀξύτονα καὶ περισπώμενα μακροκαταληκτεῖ: οἷον λαλιὰ, ϛοὰ, Ἀθηνᾶ. ἔτι δὲ καὶ τὰ τῷ Ἰῶτα παραλήγοντα παροξύτονα: οἷον γωνία.

Καὶ τὰ εἰς αι παραλήγοντα ὑπερδισύλλαβα: οἷον Σεληναία, πλὴν τοῦ λίλαια, Νίκαια, Φώκαια.

Καὶ τὰ ἀπὸ τῶν εἰς ος τριτοκλίτων εἰς α: Θεῖος, Θεία, πλὴν τῶν εἰς ια κατὰ συναίρεσιν: Δίϊος: Δῖος, Δῖα. Χίϊος, Χῖος, Χῖα. καὶ τοῦ πότνια, πότνα, Ἰα, μία· καὶ τῶν εἰς αινα: λύκος, λύκαινα.

Καὶ τὰ ἀπὸ τῶν εἰς ευω ῥημάτων εἰς εια: βασιλεύω, βασιλεία, πλὴν τοῦ βασίλεια ἐκ τοῦ βασιλεύς.

Καὶ τὰ εἰς εια δισύλλαβα τῇ ει παραλήγοντα: χρεία.

Καὶ ἐκ τῶν εἰς υια τῇ υι παραλήγοντα μόνον τὸ μητρυιά.

Καὶ τὰ εἰς δα καὶ εἰς θα: Λήδα, κισσαίθα, πλὴν τοῦ ἄκανθα.

Καὶ τὰ εἰς ρα μονοφθόγγῳ παραλήγοντα: πήρα, πλὴν τοῦ γέφυρα, Κέρκυρα, πρῶρα· καὶ διφθόγγῳ μόνα τὰ αὖρα, λαύρα, σαύρα.

Καὶ τὰ μεθ' ἑτέρων συμφώνων ἔχοντα συμπλεκόμενον τὸ ρ: ἄγρα, Αἶθρα, Φαίδρα. πλὴν τοῦ λίτρα, σκολόπενδρα, Τάναγρα, χύτρα.

Ταῦτα μὲν πάντα ἐκ τῶν εἰς α ληγόντων θηλυκῶν μακροκαταληκτεῖ; τὰ δὲ παρὰ ταῦτα βραχυκαταληκτεῖ.

Τὸ μὲν Ἰῶτα εἴτε προσγράφεται, εἴτε ὑπογράφεται τῷ λη-

κτικῷ φωνήεντι τῆς τῶν Ἰσοσυλλάβων Δοτικῆς πάντὸς ἀριθμοῦ ἐκτείνει τὴν κυρίαν, ἢ καταχρηστικὴν δίφθογγον· τὸ δὲ α καὶ ι συστέλλονται ἐν τῇ ληγούσῃ τῶν πλαγίων τῶν Περιττοσυλλάβων· ἡ δὲ λήγουσα αὐτῶν Πτωτικὴ κατάληξις λέγεται.

Τὰ διχρονοκατάληκτα οὐδέτερα συστελλόμενον ἔχουσι τὸ δίχρονον: οἷον βῆμα, μέλι, πῶϋ, πλὴν τοῦ κατὰ ἀποκοπὴν κρῖ ἐκ τοῦ κριθὴ, ἢ κρῖμνον, καὶ τῶν στοιχείων πῖ, φῖ, χῖ, ψῖ, ἐκτεινόντων τὸ Ἰῶτα, καὶ τῶν μῦ, νῦ, ξῦ, ἐκτεινόντων τὸ υ ψιλόν.

Πάντα τὰ εἰς ἀμετάβολον μετὰ διχρόνου λήγοντα, ἀρσενικὰ μὲν ὄντα, ἢ θηλυκὰ, μακροκαταληκτεῖ: οἷον Κὰρ, Παιὰν, ἀκτὶν, Γόρτυν, πλὴν τῶν κατὰ ἀποκοπὴν, ἅτινα ὁμοχρονοῦσι τῇ τοῦ πρωτοτύπου παραληγούσῃ: οἷον μάρτυρ, ψίθυρ, ἀπὸ τοῦ μάρτυρος, ψίθυρος, καὶ τοῦ Λατινικοῦ Καῖσαρ· οὐδέτερα δὲ, τριγενῆ μὲν ὄντα ὁμοχρονοῦσι τοῖς ἰδίοις ἀρσενικοῖς: πᾶς, πᾶν· μονογενῆ δὲ, εἰ μὲν μονοσύλλαβά εἰσι, μακροκαταληκτεῖ: οἷον πῦρ· πολυσύλλαβα δὲ βραχυκαταληκτεῖ: οἷον ἧπαρ.

Πάντα τὰ εἰς ξ μετὰ διχρόνου λήγοντα πολυσύλλαβα ἀρσενικὰ μὲν ὄντα, μακροκαταληκτεῖ: οἷον διώρυξ, θώραξ, κήρυξ, μονώνυξ, φοίνιξ· θηλυκὰ δὲ βραχυκαταληκτεῖ: οἷον αὖλαξ, χοῖνιξ.

Πάντα τὰ εἰς ας ἀρσενικὰ περισπώμενα, ἢ παροξύτονα μακροκαταληκτεῖ: οἷον πᾶς, Κοσμᾶς. Αἰνείας, Αἴας, χρυσώσας, πλὴν τοῦ ἐπιθέτου μέγας, καὶ τοῦ προσηγορικοῦ λᾶας· ἐκ δὲ τῶν εἰς ας ὀξυτόνων μόνα τὰ ἀνδριὰς, ἱμὰς, καὶ τὰ ἀπὸ τοῦ κεκρᾶσθαι: μελικρὰς· καὶ πᾶσαι αἱ ὀξύτονοι μετοχαί: οἷον ἱστάς.

Πάντα τὰ εἰς ις μονοσύλλαϐα μακροκαταληκτεῖ: οἷον θὶς, λὶς, ἶς· ὅτι καὶ πᾶσα μονοσύλλαϐος ὀνομαςικὴ, πλὴν τοῦ τὶς τί· καὶ ἐκ τῶν πολυσυλλάϐων τὰ δικατάληκτα ἀρσενικὰ, ἢ θηλυκὰ διὰ τοῦ νος κλινόμενα: οἷον ἀκτὶς, ἀκτίν· δελφὶς, δελφίν· καὶ ἐκ τῶν εἰς δος κλινομένων μόνα τὰ ἀψὶς, βαλϐὶς, πλοκαμὶς, καὶ τὰ ἀπὸ τῶν εἰς ις ὀξυτόνων συγκείμενα Ἀττικῶς: οἷον εὐκνήμις, εὐκνήμιδος, ἀντὶ εὔκνημις. Καὶ Ἀττικῶς πάντα τὰ εἰς θος κλινόμενα μακροκαταληκτεῖ: οἷον ὄρνις, ὄρνιθος.

Πάντα τὰ εἰς υς ὀξύτονα μονοσύλλαϐα καὶ πολυσύλλαϐα ἀμετάϐλητον τὸ υ ἔχοντα, καὶ διὰ τοῦ ος καθαροῦ κλινόμενα μακροκαταληκτεῖ: οἷον Ἰχθὺς, μῦς, σῦς, ὗς, νηδὺς, ὀφρῦς.

Πάντα τὰ εἰς ψ μετὰ διχρόνου λήγοντα μακροκαταληκτεῖ: οἷον ἄραψ, γὺψ, χέρνιψ.

Τὰ δὲ παρὰ ταῦτα βραχυπαραληκτεῖ ἐν τῇ ὀνομαςικῇ τῆς Ε. ἐν δὲ ταῖς πλαγίαις οὐ φυλλάττει ἀεὶ τὸ ληκτικὸν δίχρονον τῆς ὀνομαςικῆς τὸν αὐτὸν χρόνον. καὶ γάρ·

Πάντα τὰ εἰς ξ μετὰ διχρόνου λήγοντα, μακρὸν ἔχουσιν ἀεὶ ἐν ταῖς Πλαγίαις τὸ ληκτικὸν δίχρονον τῆς Ὀνομαςικῆς, εἰ καὶ διφορεῖται ἐν τῇ Ὀνομαςικῇ: οἷον ὁ θώραξ, τοῦ θώρακος· ἡ αὖλαξ, τῆς αὔλακος· καὶ τὰ εἰς ις δικατάληκτα διὰ τοῦ νος κλινόμενα· ἀκτὶς, ἀκτὶν, ἀκτῖνος· πλὴν τοῦ τίς.

Τὰ εἰς ις ὀξύτονα θηλυκὰ δισύλλαϐα τῷ δος κλινόμενα, καὶ μακροπαράληκτα, καὶ μήτε ὑποκοριςικὰ, μήτε κύρια, μακρὸν ἔχουσιν ἀεὶ ἐν ταῖς πλαγίαις τὸ ληκτικὸν τῆς ὀνομαςικῆς δίχρονον: οἷον βαλϐὶς, βαλϐῖδος. κνημὶς, κνημῖδος.

Τὰ δὲ εἰς ψ λήγοντα, καὶ ἔτι τὰ μονοσύλλαϐα, τὸ ἐπὶ τῆς

Εὐθείας μακρὸν δίχρονον, συςέλλουσιν ἐν ταῖς Πλαγίαις: οἷον γυπὸς, μυὸς. τὰ δὲ εἰς υν διὰ τοῦ νος κλινόμενα, τὸ ἐν τῇ ὀνομαςικῇ βραχὺ ἐκτείνουσιν ἐν ταῖς Πλαγίαις: οιον μόσυν, μόσυνος, Φόρκυν, Φόρκυνος.

Τὰ εἰς ις τρισύλλαβα ἐπίθετα εἴτε μακροπαράληκτα, εἴτε μὴ, βραχὺ ἔχουσιν ἀεὶ ἐν ταῖς Πλαγίαις τὸ ἐν τῇ Ὀνομαςικῇ δίχρονον: οἷον αὐλητρίδος· τὰ δὲ παραλήγοντα καὶ προπαραλήγοντα βραχεία, ἐκτεινόμενον ἔχουσιν ἀεὶ ἐν ταῖς Πλαγίαις τὸ τῆς Ὀνομαςικῆς ληκτικὸν δίχρονον: οἷον πλοκαμῖδος· οἱ μέν τοι ποιηταὶ παρεντιθέντες τὸ η, συςέλλουσιν αὐτό: οἷον πλοκαμηΐδος, ποταμηΐδος.

Τὰ εἰς υς ὀξύτονά τε καὶ περισπώμενα, διὰ τοῦ ος καθαροῦ κλινόμενα μακροκατάληκτα, συςέλλουσι τὸ υ ἐπὶ τῶν πλαγίων: οἷον πληθὺς, ύος· ἰχθὺς, ύος. ὀφρῦς, ύος.

Περὶ τῶν Μακροκαταλήκτων Ῥημάτων.

Τὰ εἰς ᾳ, ᾳς, ᾳν, αι, οι συνῃρημένα ἢ εὐκτικὰ μακροκαταληκτεῖ: βοᾷ, βοᾷς, βοᾷν, ποιήσαι, ποιοῖ.

Τὰ εἰς υ, υς, υν: ἐζεύγνυν ἐζεύγνυς, ἐζεύγνυ.

Περὶ τῶν Μακροπαραλήκτων Ὀνομάτων.

Τὰ εἰς ινα Κύρια Ὀνόματα μακροπαραληκτεῖ: Μαρῖνα, Αἴγινα.

Καὶ μόνα ἐκ τῶν εἰς α θηλυκῶν μονογενῶν καὶ διχρονοπαραλήκτων τὰ ἀρὰ, τιάρα, σφύρα, Φθία, φύσα, καὶ τὰ ἀπὸ

Ῥημάτων μακροπαραλήκτων: ἄμυνα ἀπὸ τοῦ ἀμύνω.

Και μόνον τὸ πῖλος ἐκ τῶν εἰς ιλος. Και τὰ εἰς ιμος δισύλλαβα: μῖμος· και ἐκ τῶν ὑπερδισυλλάϐων μόνα τὰ ἄτιμος, ϐούλιμος. ἴσφθιμος.

Τὰ εἰς μα καθαρὸν οὐδέτερα, θῦμα, κῦμα, λῦμα, ῥῦμα, πλὴν του κρίμα, χύμα, ςόμα, καὶ τῶν ἀπὸ τῶν εἰς μι: δόμα.

Καὶ μόνα ἐκ τῶν εἰς ας διχρονοπαραλήκτων τὰ, θυὰς, Ἴδας, κρᾶας, λᾶας, πιὰς, φθιάς. καὶ ἐκ τῶν εἰς ευς τὰ, Νικαεὺς, Ὀϊλεὺς, Τυδεὺς, Φυγεύς. και ἐκ τῶν εἰς η διχρονοπαραλήκτων τὰ ἄτη, ἀμαρυγὴ, ἐνιπὴ, Ἴδη, ἴλη, λύμη, λύπη, νίκη, πυγὴ, συκῆ, φυλὴ κ. τ. λ.

Τὰ εἰς ινη δισύλλαϐα καὶ ὑπερτρισύλλαϐα: κλίνη, μολυϐδίνη. πλὴν τοῦ εἰλαπίνη και τῶν ἐπὶ πόλεων.

Τὰ εἰς υνη δισύλλαϐα μακροπαραληκτεῖ: Φρύνη· πλὴν τοῦ γυνή.

Τὰ εἰς ιτη: Ἀφροδίτη.

Τὰ εἰς της τῷ ι ἢ τῷ υ παραλήγοντα μακροπαραχτεῖ: πολίτης, πρεσϐύτης· πλὴν τοῦ κριτὴς καῖ τῶν ἀπὸ τούτου: δικαιοκρίτης· και ὅλως τὰ εἰς της τῷ α παραλήγοντα: Εὐφράτης, Σπαρτιάτης.

Τὰ εἰς ος καθαρὸν ὀξύτονα διχρόνῳ παραλήγοντα μακροπαραληκτεῖ: ναὸς, κριός· πλὴν τοῦ ϐιός. και μόνον τὸ καλὸς ἐκ τῶν εἰς αλος ἐπιθὲτων.

Καὶ ἐκ τῶν εἰς ος οὐδετέρων δισυλλάϐων καὶ διχρονοπαραλήκτων τὰ κῦδος, κῦρος, κῦτος, πῖος, πρᾶγος, σκῦτος, μῖσος, μῦσος, φᾶρος, ψῦθος.

Ἐκ τῶν εἰς ις διχρονοπαραλήκτων μακροπαραληκτεῖ: τὰ

Ἶρις, Ἶφις, κρᾶσις, πρᾶξις, Φᾶσις. ὁ ποταμός. κ. τ. λ.

Τὰ εἰς αῖς ὀξύτονα θηλυκὰ διὰ τοῦ δ κλινόμενα: Πτολεμαΐς.

Τὰ εἰς ανις ἐθνικά: Βρετανίς.

Τὰ εἰς ιος, ια ἐκ συναιρέσεως: δῖος δῖα· Χῖος, Χῖα· καὶ ἐκ τῶν εἰς ισος μόνον τὸ μῖσος, καὶ παρὰ ποιηταῖς τὸ ἶσος.

Τὰ εἰς ινος μὴ χρονικὰ μηδὲ μετουσιαςικὰ πρὸ μιᾶς τὸν τόνον ἔχοντα: Κωνςαντῖνος πλὴν τοῦ καρκίνος, πίνος· πρὸ δύο δὲ μόνον τὸ κάμινος, κόφινος.

Τὰ εἰς υνος: θῦννος, κίνδυνος· πλὴν τοῦ πλυνός, λάγυνος, καὶ τῶν ἀπὸ τοῦ γυνή: ἀνδρόγυνος.

Τὰ εἰς ρος καθαρὸν ὀξύτονα δισύλλαβα τῷ α, υ παραλήγοντα: ψαρός, τυρός· πλὴν τοῦ ξυρός.

Τὰ εἰς υρος ὑπερδισύλλαβα μακρᾷ παραλήγοντα: Ἰσχυρὸς· πλὴν τοῦ ἁλμυρός.

Τὰ ἀπὸ τοῦ πρώτου προσώπου τοῦ παθητικοῦ Παρακειμένου εἰς μος, μακροπαραληκτεῖ ἤτοι φύσει, ἢ θέσει: τέθυμαι, θυμός· δέδεμαι, δεσμός.

Ἐκ τῶν εἰς ον οὐδετέρων τὰ ἆθλον, σῦκον, κ. τ. λ. καὶ μόνον τὸ θᾶττον καὶ μᾶλλον ἐκ τῶν εἰς ον συγκριτικῶν διχρονοπαραλήκτων. καί τοι τὰ εἰς ων συγκριτικὰ ἀρσενικὰ καθαρὰ διχρονοπαράληκτα ἀεὶ μακροπαραληκτοῦσι: βελτίων.

Τὰ εἰς υλον οὐδέτερα: σκῦλον, φῦλον· πλὴν τοῦ ξύλον, φύλλον. Ἐκ τῶν εἰς ρ διχρονοπαραλήκτων τὰ δαὴρ, μῦμαρ, πῖαρ, Ἰχὼρ· κ. τ. λ. Καὶ ἐκ τῶν εἰς ψ τὸ μύωψ. Καὶ ἐκ τῶν εἰς ω τὰ Διδὼ, Θεανὼ, Ἰνὼ, Καμινὼ, Πυθώ Και ἐκ τῶν ων τὰ δάμων, δρυμὼν, Ἰάσων, τρυγών. κ. τ. λ. Και τὰ φυλάττοντα τὴν τοῦ ἰδίου πρωτοτύπου μακρὰν παραλήγουσαν· γρίπων, ἐκ τοῦ γρῖπος. κύμων ἐκ τοῦ κύω.

Τὰ εἰς αων βαρύτονα: Μαχάων.

Τὰ εἰς ιων δισύλλαβα μὴ κύρια κίων, πίων, πρίων.

Καὶ ἐκ τῶν εἰς ως μόνα τὰ Μίνως καὶ Τυφώς.

Περὶ τῶν Μακροπαραλήκτων Ῥημάτων.

Τὰ εἰς αω ἔχοντα πρὸ τοῦ α φωνῆεν, ἢ τὸ ρ μακροπαραληκτεῖ: οἷον ἐάω, περάω, πλὴν τοῦ ἀμφιάω, ἀνιάω, ἀποχράω. Καὶ ἐκ τῶν εἰς ιω Βαρυτόνων κοινὸν ἐχόντων τὸ ι καὶ ὑπερδισυλλάβων μόνον τὸ ἐσθίω, καὶ πάντα τὰ δισύλλαβα: πρίω, τίω, χρίω.

Τὰ εἰς ινω, υνω, υρω, υχω: κρίνω, μολύνω, κύρω, τρύχω, καὶ ἐκ τῶν εἰς ανω ὑπερδισυλλάβων μόνα τὰ ἱκάνω, κιχάνω.

Τὰ εἰς υω ἔχοντα πρὸ τοῦ σ δισύμφωνον, ἢ μακρὸν: οἷον δακρύω, ἠμύω, κωκύω. πτύω· τὰ δὲ δύω, θύω, λύω, ῥύω εἰσὶ κοινά.

Καὶ τὰ εἰς ωω περισπώμενα παρώνυμα: οἷον ζωῶ, ἀθωῶ, ἀπὸ τοῦ ζωή, θωή. Καὶ τὰ εἰς ωζω: πλὴν τοῦ δεσπόζω, ὄζω, ἁρμόζω. Καὶ ἔτι τὰ εἰς νω περισπώμενα κινῶ, κοινῶ, πεινῶ· καὶ ὅλως τὰ ἀπὸ μακροπαραλήκτων ὀνομάτων: λύπη, λυπῶ· μῖσος, μισῶ· τιμὴ, τιμῶ· κῦρος, κυρῶ· τὰ δὲ ἀπὸ Βαρυτόνων Ῥημάτων γινόμενα συστέλλει τὴν παραλήγουσαν: πείθω, πιθῶ.

Τὰ εἰς ιω, υω, ἐπὶ Μέλλοντος μακροπαραληκτοῦσιν: οἷον μηνίσω, θύσω· οὐ γὰρ ὁμόχρονος ἀεὶ ἡ παραλήγουσα τοῦ Μέλλοντος τῇ τοῦ Ἐνεστῶτος· διὸ καὶ λέγεται, ὅτι πᾶς Μέλλων βαρύτονος οὐδέποτε ἔχει ἐλάσσονα παραλήγουσαν τοῦ Ἐνεστῶτος, ἀλλ' ἤτοι ἴσην, ἢ μείζονα· πλὴν τοῦ θύσω, κύψω, πνίξω, τύψω, παραληγόντων ἐν μὲν τῷ Ἐνεστῶτι εἰς

κοινὸν, ἐν δὲ τῷ Μέλλοντι εἰς μακρὸν, ὧν καὶ οἱ Ἀόριστοι καὶ Παρακείμενοι μακροπαραληκτοῦσι. Καὶ τῶν εἰς ζω, ἢ εἰς ἀμετάβολον βραχυπαραληκτούντων ἐν τῷ Μέλλοντι: οἷον βασανίσω, κρινῶ, καὶ τοῦ κέκριμαι, ἐκρίθην, καὶ τῶν ἀπὸ τούτων ὀνομάτων κρίσις, κρίμα· ἐξαιρεῖται τὸ ἔκρινα καὶ κρῖναι μακροπαραληκτούντων. ὅτι οἱ Ἀόριστοι τῶν εἰς ἀμετάβολον μακροπαραληκτοῦσιν ἀεί.

Τὰ εἰς πτω τῷ υ παραλήγοντα, ἐπὶ τοῦ Παρακειμένου φύσει μακρᾷ παραλήγει: οἷον κύπτω, κέκυφα. Πᾶς δὲ Παρακείμενος εἰς κα μακρᾷ παραλήγων, εἰ ἀποβάλοι τὸ κ, συστέλλει τὴν παραλήγουσαν: οἷον βέβηκα, βέβαα, ὥςπερ καὶ ὁ Ἀττικὸς Παρακείμενος ὁ τετρασύλλαβος: οἷον ἤκουκα, ἀκήκοα. Ἔτι δὲ καὶ ὁ ἀπαθὴς Παρακείμενος τῶν Ἀπαρεμφάτων βραχυπαραληκτεῖ: οἷον πεποιηκέναι. Καὶ ὅλως αἱ κατὰ τὰς ἀρχὰς τῶν παρῳχημένων καὶ Ἐνεστώτων προστιθέμεναι συλλαβαὶ βραχεῖαί εἰσιν: οἷον γράφω, γέγραφα· θέω, τίθημι· τὸ δὲ προστιθέμενον α Ἰωνικῶς τοῖς μὲν τρίτοις προσώποις τῶν Παθητικῶν Παρακειμένων καὶ Ὑπερσυντελικῶν βραχύ ἐστι: οἷον γεγράφαται, ἐγεγράφατο· τῶν δὲ εἰς μι μακρόν: οἷον τιθέασι· καθόλου γὰρ ἡ πρὸ τοῦ σι συλλαβὴ μακρά ἐστι.

Τὰ εἰς θι Προστακτικὰ δισύλλαβα μὲν ὄντα μακροπαραληκτεῖ: οἷον κλῦθι, φᾶθι, πλὴν τοῦ ἴθι· ὑπερδισύλλαβα δὲ βραχυπαραληκτεῖ: οἷον κέκλιθι, ὄρνιθι.

Οἱ μὲν εἰς ναι Ἀόριστοι τῶν Ἀπαρεμφάτων μακροπαραληκτοῦσιν: οἷον κρῖναι, δῦναι, φᾶναι· οἱ δὲ Ἐνεστῶτες καὶ Παρακείμενοι βραχυπαραληκτοῦσιν: οἷον ζευγνύναι, ἑστακέναι, τὸ δὲ τεθνᾶναι ἐκ συναιρέσεως.

Αἱ παραλήγουσαι τῶν παρῳχημένων ἰσοχρονοῦσιν ὡς ἐπὶ

τὸ πλεῖςον ταῖς τοῦ Μέλλοντος, πλὴν τοῦ Παρατατικοῦ ἰσοχρονοῦντος τῇ τοῦ Ἐνεςῶτος· αἱ δὲ τῶν Παθητικῶν καὶ Μέσων ταῖς τῶν Ἐνεργητικῶν.

Περὶ Ὀρθογραφίας τῆς Ληγούσης.

Ὅσα τελευτᾷ τῷ η.

Τὰ εἰς η λήγοντα θηλυκὰ τῷ η τελευτᾷ: τιμή.

Καὶ ἔτι τὰ εἰς ην, ηρ, καὶ ὅσα τῶν εἰς ης κλίνονται ἤτοι ἰσοσυλλάβως, ἢ τῷ εως, ἢ τῷ τ περιττοσυλλάβως: ποιμὴν, πατὴρ, μαθητὴς, Δημοσθένης, πένης· πλὴν τοῦ χεὶρ, φθεὶρ, εἶρ, εἰνάτειρ, σάπφειρ τῇ ει· καὶ Γόρτυν, μάρτυρ, μόσυν, Φόρκυν, πῦρ, ψίθυρ τῷ υ· καὶ τῶν δικαταλήκτων δελφὶν, δελφίς· ἀκτὶν, ἀκτίς· ῥὶν, ῥίς· θὶν, θίς. τῷ ι

Τὰ εἰς ηξ καὶ Δωρικῶς εἰς αξ: μύρμηξ, νάρθηξ, ὅτι μύρμαξ, νάρθαξ· καὶ ἔτι ὅσα ἐκ τοῦ πλήττω: βουπλήξ.

Ὅσα τῷ ι.

Τὰ εἰς ι οὐδέτερα τῷ ι τελευτᾷ· πλὴν τοῦ ἄςυ, γόνυ, δόρυ, μῶλυ, πῶϋ, καὶ τῶν ἀπὸ τῶν εἰς υς: ἡδὺς, ἡδύ· ταῦτα γὰρ τῷ υ τελευτᾷ.

Καὶ ἔτι τὰ εἰς ις δικατάληκτα: ἀκτὶν, ἀκτίς· καὶ τὰ τῷ

διὰ θ κλινόμενα; Πάρις, ὄρνις· πλὴν τοῦ κλεὶς τῇ ει· καὶ χλαμὺς τῷ υ, καὶ τῶν διὰ τοῦ ντ κλινομένων, χαρίεις, αἰγλήεις· ταῦτα γὰρ τῇ ει τριγενῆ ὄντα· μονογενῆ δὲ τῷ η: Κλήμης· καὶ τῶν διὰ τοῦ ν κλινομένων: κτεὶς τῇ ει· πλὴν τοῦ τις τῷ ι.

Τὰ εἰς ιψ: σκνὶψ, πλὴν τοῦ γρὺψ, γὺψ, χάλυψ τῷ υ.

Ὅσα τῷ υ.

Τὰ εἰς υς ἀρσενικὰ τριγενῆ μὴ ἔχοντα ὁμόφωνον τὸ θηλυκόν: ἡδὺς, ἡδεῖα, ἡδύ.

Καὶ ἔτι τὰ μονοσύλλαβα: δρῦς, μῦς, σῦς, ὗς.

Τὰ εἰς υς θηλυκὰ ὀξύτονα: χλαμύς· πλὴν τοῦ βαλβὶς, πυραμὶς, κ. τ. λ. καὶ τῶν Πατρωνυμικῶν καὶ Ὑποκοριστικῶν: Πελοπὶς, ψηφὶς ἰωταγραφουμένων· καὶ τὸ τίρυνς ἐκ τῶν ληγόντων εἰς δισύμφωνον.

Τὰ εἰς υξ: ἄντυξ, σὺξ· πλὴν τοῦ πρωῒξ τῇ οι. ἧλιξ, θρὶξ, ἴξ, κύλιξ, πέρδιξ, σάλπιγξ, τέττιξ, φῆλιξ, φοίνιξ, φρὶξ. χοῖνιξ τῷ ι.

Καὶ ἐκ τῶν εἰς υς τὸ βότρυς, ἔγχελυς, ἰχθῦς, πῆχυς, στάχυς.

Ὅσα τῇ αι,

Τὰ εἰς αιξ: γύναιξ· πλὴν τοῦ ἒξ καὶ τῶν ἀπὸ τοῦ τέκω: καλλίτεξ· τῷ δὲ ψ οὐδεμία τῶν διφθόγγων συλλαβιζομένη τελευτᾷ.

Καὶ ἔτι πάντα τὰ εἰς αις: δαὶς, παῖς, σταίς.

Ὅσα τῷ ω.

Τὰ εἰς ων, ωρ, ως, ωψ, ω τεταρτόκλιτα, ἢ πεμπτόκλιτα τῷ ω τελευτᾷ: εὔγεων, μείζων, λέων, Νέστωρ, ὕδωρ, εὔγεως, ἥρως, αἰδὼς, Κύκλωψ, Λητώ· πλὴν τοῦ ἄορ, ἦτορ, καὶ τῶν εἰς ον οὐδετέρων Συγκριτικῶν ἢ Μετοχικῶν, καὶ τῶν εἰς ος οὐδετέρων Μετοχικῶν: τὸ μεῖζον, τὸ γράφον, τὸ γεγραφὸς, καὶ τοῦ ὄψ ἡ φωνὴ, καὶ τοῦ Αἰθίοψ, Κέκροψ, μέροψ, οἴνοψ, Πέλοψ.

Περὶ Ὀρθογραφίας τῆς Μέσης ἁπλῶς.

Ὅσα τῷ ε.

Τὰ εἰς εος ὀξύτονα, ἢ θετικὰ τῷ ε γράφεται: φωλεὸς, δοτέος· πλὴν τοῦ Ἀχαιὸς, χαιὸς, ἀραιὸς, ἀρχαῖος, κραταιὸς, παλαιὸς, σκαιὸς, εὐκταῖος τῇ αι· καὶ ὅλως τὰ ἀπὸ τῶν εἰς α, ἢ εἰς η θηλικῶν εἰς αιος τῇ αι γράφεται: ἀρχὴ, ἀρχαῖος· Γάζα, Γαζαῖος· γέννα, γενναῖος· Ῥώμη, Ῥωμαῖος.

Ἔτι τὰ ἀπὸ τοῦ γέα σύνθετα: βαθυγεών.

Τὰ εἰς εαρ, εδη, εδων, εζα, ελη, ελλα, ελιος, ελος, εμος, εμων, ενος: φρέαρ, πέδη, σπεδὼν, τράπεζα, νεφέλη, δίκελλα, θεμέλιος, ὀβελὸς, ἄνεμος, πόλεμος, ἡγεμὼν, κενός· πλὴν τοῦ Αἴλιος, καινὸς, καὶ τῶν ἀπὸ τοῦ αἶμαι, δαίμων, αἶνος, ἄναιμος, εὐδαίμων, ἔπαινος τῇ αι.

Ὅσα τῶν ἁπλῶν ἔχουσι μετὰ τὸ ε δισύμφωνον: ἕδρα ἐξ οὗ τὸ καθέδρα.

Τὰ εἰς ερος ὀξύτονα καὶ προπαροξύτονα: πενθερὸς, σοφώτερος, πλὴν τοῦ θαιρὸς, καιρός.

Τὰ εἰς ερα θηλυκὰ: ἡμέρα, πλὴν τοῦ αἶρα, Ἰοχέαιρα, μάκαιρα, μάχαιρα, νεαιρα, σφαῖρα, Χίμαιρα.

Τὰ εἰς ετη θηλυκὰ ὑπερδισύλλαβα, καὶ τὰ εἰς ετης, ετιος, εφος, εων: μελέτη, εὐχέτης, Μελέτιος, νέφος, κυκεὼν· πλὴν τῶν ἀπο τοῦ αἰτῶ καὶ τοῦ χαίτη: ἐπαίτης, κυανοχαίτης, καὶ τοῦ λαίφους, καὶ τοῦ αἰών. καὶ τῶν ἀπ᾽ αὐτοῦ: μακραίων.

Καὶ ὅλως τὰ ἀπο τοῦ ἀγχοῦ, ἄργω, ἔχω, φέρω: ἀγχέμαχος, ἀργέγονος, ἐχέφρων, φερέσβιος.

Ὅσα τῇ αι,

Τὰ εἰς αιτερος, αιτατος τῇ αι προπαρατελευτᾷ: γεραίτερος, γεραίτατος· πλὴν τοῦ ἕτερος καὶ τῶν ἀπὸ τῶν πρωτοτύπων Ἀντωνυμιῶν: ἡμέτερος.

Τὰ εἰς αια θηλυκὰ βαρύτονα μονογενῆ συναίρεσιν οὐκ ἐπιδεχόμενα: νεωλαία· πλὴν τοῦ ἀλέα, θέα, ἰτέα, μηλέα, Νεμέα, ὑδρέα.

Τὰ εἰς αινα, αινις, αιον: λέαινα, μαινὶς, βέβαιον, σπήλαιον· πλὴν τῶν διὰ δύο νν γραφομένων: γέεννα, καὶ τῶν συναιρουμένων εἰς ουν: χάλκεον, χαλκοῦν, καὶ τοῦ ἐλεὸν, ὄςρεον.

Τὰ ἀπὸ τῶν εἰς α ἢ εἰς η θηλυκῶν εἰς αιος: γέννα: γενναῖος· Ῥώμη, Ῥωμαῖος.

Ὅσα τῷ η,

Τὰ εἰς ηγος, ηδων, ηλος, ηρος τῷ η γράφεται ὀξύτονα ὄντα: χορηγὸς, ἀηδὼν, ὑψηλὸς, ἀνθηρός· πλὴν τοῦ νεογιλὸς, μυρμιδὼν, χελιδὼν τῷ ι· καὶ ἁλμυρὸς, βδελυρὸς, ἰσχυρὸς τῷ υ·

Τὰ εἰς ηνος ὀξύτονα τοπικὰ, ἢ Ἐθνικὰ: Ἀγαρηνὸς, Κυζικηνὸς, Περγαμηνὸς, οἷς ἠκολούθησε καὶ τὸ πικηνὸς, Γαληνός· πλὴν τοῦ Ἀτραμυτινὸς, Μελιτινὸς τῷ ι.

Τὰ εἰς ηρης: πλήρης· πλὴν τοῦ Ἶρις. Ὄσιρις τῷ ι.

Τὰ εἰς ηθρα, ητρα θηλυκὰ: κολυμβήθρα, μήτρα.

Τὰ εἰς ηθος, ηνος, ηριον οὐδέτερα: στῆθος, κτῆνος, ποτήριον.

Τὰ εἰς ηκοντα Ἀριθμητικὰ: πεντήκοντα, ἑξήκοντα.

Ὅσα τῷ ι.

Τὰ εἰς ια ὀξύτονα καὶ παροξύτονα θηλυκὰ τῷ ι γράφεται: καρδία, λαλιά· πλὴν τῶν ἀπὸ τῶν εἰς ευω, καὶ τῶν ἀπὸ τῶν εἰς υς ἀρσενικῶν εἰς εια: πρεσβεύω, πρεσβεία· ὀξὺς, ὀξεῖα, καὶ τοῦ παρειὰ, σιτοδεία, φορβειὰ τῇ ει· τὸ δὲ ὑγεία κατὰ συγκοπὴν ἐκ τοῦ ὑγίεια· καὶ πλὴν τοῦ μυῖα, μητρυιὰ, ὀργυιὰ τῇ υι· καὶ τοῦ πτοία, ῥοιὰ, Τροία, χροιὰ τῇ οι· καὶ τοῦ καρύα, πιτύα, σικύα, κ. τ. λ. τῷ υ.

Τὰ εἰς ιας ὀξύτονα θηλυκὰ: μυριάς. πλὴν τοῦ γενειὰς, πελειὰς τῇ ει.

Τὰ εἰς ιας ἀρσενικὰ ὑπερδισύλλαβα: κοχλίας· πλὴν τοῦ Αἰνείας, Αὐγείας, Ἑρμείας, παρείας τῇ ει· καὶ Περσύας τῷ υ.

Τὰ εἰς ιος ὀξύτονα καὶ προπαροξύτονα: Ἀσκληπιὸς, ἄξιος.

Τὰ εἰς ιον, ιος βαρύτονα ὑπερδισύλλαβα, ἄξιος, βιβλίον, γραμμάτιον· πλὴν τῶν Κτητικῶν καὶ Περιεκτικῶν καὶ Μετουσιαστικῶν: ἀνθρώπειον, μουσεῖον, χρύσειον καὶ τοῦ ἀφνειὸς, Ἀλφειὸς τῇ ει· καὶ πλὴν τοῦ κολοιὸς, πλοῖον καὶ τῶν ἀπὸ τῶν εἰς ος εἰς οιος: ἄλλος, ἀλλοῖος τῇ οι· καὶ τοῦ ἐπηὸς, αἰζηὸς ἐκ τοῦ ἐπαὸς, αἰζαὸς τροπῇ τοῦ α εἰς η· καὶ τῶν ἀπὸ τῶν διὰ τοῦ εος κλινομένων: Ἡρακλέεος, Ἡράκλειος τῇ ει· καὶ τοῦ δάκρυον, δίκτυον, ἔμπυον, κάρυον, κρόμμυον, κρήγυον, σίκυον τῷ υ.

Τὰ εἰς ιων Συγκριτικὰ ὑπερδισύλλαβα: βελτίων· πλὴν τοῦ ἀρείων, χερείων.

Τὰ εἰς ιδιον Ὑποκοριστικὰ: ξιφίδιον· πλὴν τῶν εἰς η περισπωμένων, ἢ ὀξυτόνων: γῆ, γήδιον· πηγὴ, πηγήδιον τῷ η· καὶ τῶν ἀπὸ τῆς δοτικῆς: τάξει, ταξείδιον τῇ ει.

Τὰ εἰς ιδης, ἢ ιδους Πατρωνυμικὰ ἀπαθῆ, ἢ Κύρια: Πριαμίδης, Θουκυδίδης, ἀδελφιδοῦς· πλὴν τῶν ἀπὸ τοῦ εἶδος, μῆδος: Ἀριστείδης, Παλαμήδης.

Τὰ εἰς ιευς, ιλευς: ἁλιεὺς, βασιλεύς· πλὴν τοῦ Νηλεὺς, Πηλεὺς τῷ η.

Τὰ τεἰς ικος: μουσικός· πλὴν τοῦ Εὐβοεικὸς, Δαρεικὸς καὶ τῶν τούτοις ὁμοίων, τῶν συγκοπὴν πασχόντων ἐκ τοῦ Εὐβοειακὸς, Δαρειακός· ταῦτα γὰρ τῇ ει· καὶ πλὴν τῶν ἀπὸ τῶν εἰς υς: Λίβυς, Λιβυκός· θῆλυς, θηλυκός· καὶ γὰρ πάντα τὰ παράγωγα φυλάττουσι τὴν γραφὴν τῶν ἰδίων πρωτοτύπων· καὶ πλὴν τοῦ ἀλυκὸς, κόρυκος τῷ υ.

Τὰ εἰς ιμος: Ἄνθιμος· πλὴν τῶν ἀπὸ τοῦ δῆμος, σῆμα, σχῆμα, φήμη συγκειμένων: πάνδημος, πολύσημος, πολύσχημος, πολύφημος τῷ η· καὶ τοῦ γίγλυμος, δίδυμος, ἔλυμος

ἔτυμος, νήδυμος, σκόλυμος, σόλυμος, καὶ τῶν ἀπὸ τοῦ ὄνομα συγκειμένων: ἀνώνυμος τῷ υ· καὶ τοῦ ἄγροικος, ἑτοῖμος τῇ οι.

Τὰ οἰς ινος ὀξύτονα καιροῦ σημαντικά: θερινός· καὶ ὅλως· τὰ εἰς ινος βαρύτονα: Κωνσταντῖνος· πλὴν τοῦ εὐφρόσυνος, κόφυνος, λάγυνος τῷ υ· καὶ τῶν οὐδετέρων: σμῆνος τῷ η· ὁμοίως καὶ τῶν Τοπικῶν καὶ Ἐθνικῶν: Κυζικηνὸς, Ἀγαρηνὸς· πλὴν τοῦ Ἀτραμυτινὸς, Μελιτινὸς, πεδινὸς τῷ ι. καὶ τοῦ σεῖνος, ἐκεῖνος, ἐλεεινὸς τῇ ει· καὶ ὅλως.

Τὰ εἰς εινος Παρώνυμα μὴ καιροῦ σημαντικά: φῶς, φωτεινός· σκότος, σκοτεινὸς τῇ ει.

Τὰ εἰς ινη τὰ μὲν ἀπὸ τῶν εἰς ος ἢ ης τῷ ι: Ἄδραστος, Ἀδραστίνη· Αἰήτης, Αἰητίνη· τὰ δὲ ἔχοντα ἀρσενικὸν καὶ τὰ Ῥηματικὰ φυλάττουσι τὴν ἐκείνων γραφήν: δῖνος, δίνη· κλίνω, κλίνη τῷ ι· οἶνος, οἴνη τῇ οι· εὐθύνω, εὐθύνη τῷ υ· πλὴν τῶν ἀπὸ τῶν εἰς ω Ῥημάτων εἰς οσυνη ἀεὶ τῷ υ: βρίθω, βριθοσύνη· ἐξαιρουμένων τοῦ ἀξίνη τῷ ι· καὶ κορύνη, ὀδύνη τῷ υ.

Τὰ εἰς ισθος, ιστος ἁπλᾶ, ὑπερδισύλλαβα: ὄλισθος, ὀϊστός.

Τὰ εἰς ιστρος, ιστρον: λῖστρος, ἄγκιστρον. πλὴν τῶν Παραγώγων, φυλαττόντων τὴν ἐκείνων γραφήν: σέσεισται, σεῖστρον.

Τὰ εἰς ιτης, ιτος, ιεις Παράγωγα φυλάττουσι τὴν τῆς ἰδίας ἀρχῆς γραφήν: πόλις, πολίτης· Ἀφροδίτη, ἐπαφρόδιτος· χάρις, χαρίεις τῷ ι· σφενδόνη, σφενδονήτης· ἠρίθμηται, ἀριθμητός· τιμή, τιμήεις τῷ η· πλὴν τοῦ τεχνίτης, φυλακίτης τῷ ι· καὶ τῶν ἀπὸ τῶν εἰς εια Προπαροξυτόνων: Σαμάρεια, Σαμαρείτης· καὶ τῶν ἀπὸ τοῦ ῥέω καὶ ὄρος ψιλουμένου: βαθυρρείτης, ὀρείτης· ταῦτα γὰρ πάντα τῇ ει· τὰ δὲ

ἀπὸ τοῦ ὁδὸς καὶ ὄρος δασυνομένου τῇ οι: ὁδοίτης, ὁροίτης· πλὴν τοῦ ὁδίτης (ὁ ὁδοιπόρος) τῷ ι· καὶ πλὴν τῶν εἰς υτος ὑπερδισυλλάβων μονογενῶν: βηρυτὸς, κωκυτὸς τῷ υ· καὶ τοῦ Μίλητος, Ὑμηττὸς τῷ η· καὶ τοῦ Ἡράκλειτος, Πολύκλειτος τῇ ει.

Τὰ εἰς ισσα θηλυκὰ ὑπερδισύλλαβα: Λάρισσα· πλὴν τῶν ἀπὸ τῶν εἰς υς ἢ ης: Λίβυς, Λίβυσσα τῷ υ· Μάγνης, Μάγνησσα τῷ η.

Τὰ ἀπὸ τῶν εἰς ος ἢ εἰς ω παράγωγα ἢ τρέπουσι τὸ ληκτικὸν ο ἢ ω εἰς ι: ὕψος, ὕψιστος· οἰδῶ, Οἰδίπους· ἢ προσλαμβάνουσι τὸ ι: ὁδὸς, ὁδοίτης· ὄρος, ὁροίτης· τὸ δὲ ὄρος ψιλούμενον, ὀρείτης, ἐξ οὗ Ἁγιορείτης τρέπει τὸ ο εἰς ει.

Τὰ εἰς ιτη, ιφη, ιχος: Ἀφροδίτη, ἀγρίφη, δολιχός· πλὴν τοῦ ἀκαλήφη, κνήφη τῷ η· καὶ τοῦ ἥσυχος, κολύφη, κορυφὴ τῷ υ.

Ὅσα τῇ ει.

Τὰ ἀπὸ τοῦ γέα εἰς ειος: γέα, γῆ, ἐπίγειος.

Τὰ εἰς ρος προπαροξύτονα ῥηματικά: μάττω, μάγειρος.

Τὰ ἀπὸ τῶν εἰς ηρ εἰς ειρα: σωτὴρ, σώτειρα.

Τὰ ἐκ τοῦ αει συγκείμενα: ἀείμνηστος· πλὴν τῶν ἐχόντων τὸ δ ἑπόμενον Ἰωταγραφομένων: ἀΐδιος: ἐξαιρουμένου τοῦ ἀοίδιμος τῇ οι γραφομένου.

Τὰ εἰς εια προπαροξύτονα μὲν τῇ ει: ὑγίεια, ὠφέλεια. πλὴν τῶν εἰς μνια, στρια, τρια: πολύμνια, ὀργίστρια, χαρεύτρια τῷ ι. καὶ τῶν ἀπὸ τῶν εἰς ους εἰς οια: εὔνους, εὔνοια τῇ οι· Παροξύτονα δὲ τῷ ι: γωνία. πλὴν τῶν ἀπὸ τῶν εἰς υς ἀρσενικῶν

καὶ τῶν εἰς ευω ῥημάτων: ταχὺς, ταχεῖα· βασιλεύω, βασιλεία τῇ ει, ἐξαιρουμένων τῶν ἐχόντων σύστοιχον ὄνομα εἰς ων: ἢ εἰς ος: ἡγεμονεύω, ἡγεμὼν, ἡγεμονία· ἄσωτος, ἀσωτία· ἔμπορος, ἐμπορία· παρθένος, παρθενία· πρόεδρος, προεδρία. σύμβουλος, συμβουλία.

Ὅσα τῇ οι.

Τὰ ἀπὸ τῶν εἰς ος εἰς οιος ἢ οιτης: ἄλλος, ἀλλοῖος· γέλως, γελοῖος· ὁδὸς, ὁδοίτης, οἷς ἠκολούθησε καὶ τὸ πόνος, ποινή· δεσπότης, δέσποινα. φόνος, δαφοινός. πλὴν τοῦ ὁδίτης (ὁ δοιπόρος), καὶ τῶν συνηρημένων Χίϊος, Χῖος τῷ ι· καὶ τῶν Κτητικῶν: θεῖος, ἢ ὡς Κτητικῶν ἀνδρεῖος τῇ ει.

Ὅσα τῷ υ.

Τὰ εἰς υρα βαρύτονα: γέφυρα, πορφύρα· πλὴν τοῦ μοῖρα τῇ οι, καὶ πεῖρα τῇ ει· καὶ πῆρα, χήρα, κῆρα τῷ η· καὶ Κίῤῥα τῷ ι, καὶ τῶν ἀπὸ τῶν εἰς ηρ ἀρσενικῶν τῇ ει: σωτὴρ, σώτειρα.

Τὰ εἰς βος, χος, ρος: θόρυβος, κόρυχος, ἄργυρος, καὶ τὰ εἰς λος ἁπλᾶ: κρώβυλος· πλὴν τῶν ἀπὸ τοῦ γῆρας: ὑπέργηρος, καὶ τῶν εἰς ρος τριγενῶν: πενταέτηρος, καὶ τοῦ Αὔδηρος, σίδηρος, Φάληρος, πίθηκος, βέβηλος, κάπηλος τῷ η· καὶ τῶν Ῥηματικῶν μάγειρος, πέπειρος τῇ ει· καὶ τοῦ ἔχθοιβος, χόροιβος (ὁ μωρὸς) τῇ οι· καὶ τοῦ Κύριλλος, ὅμιλος, χόριβος (ὁ ἀσελγὴς) τῷ ι.

Τὰ εἰς υη, υζα, υλη, υλλα: ἀφύη, κόρυζα, κοτύλη, φύλλα·

πλὴν τοῦ ἀπειλὴ, ὠτειλὴ τῇ ει· καὶ ῥίζα, σχίζα, κονίλη, ἅμιλλα τῷ ι· καὶ γαμφηλὴ τῷ η.

Τὰ εἰς ὕφιον, ύλλιον ὑποκοριςικά: ζωΰφιον, βρεφύλλιον.

Τὰ εἰς σύνη παράγωγα: ἁγιωσύνη, βριθοσύνη.

Τὰ εἰς υνη ἀπὸ τῶν εἰς ος οὐδετέρων: αἶσχος, αἰσχύνη.

Τὰ εἰς υμος ὀξύτονα: θυμός· πλὴν τοῦ ἀλοιμὸς, κυδοιμὸς, λοιμὸς τῇ οι· καὶ λιμὸς, σιμὸς, φιμὸς τῷ ι· καὶ κημὸς τῷ η.

Ὅσα τῷ ω.

Τὰ εἰς ωγος, ωδης· ἀγωγὸς, πετρώδης· πλὴν τοῦ δυσόδης (ὁ δύσβατος).

Τὰ εἰς ωνης ἀρσενικὰ ὑφὴν καθαρὸν ἔχοντα τὸ ω: τελώνης, καὶ μόνον τὸ Διώνης ἐκ τῶν ἐχόντων καθαρόν.

Τὰ εἰς ωνος ὀξύτονα: οἰωνός.

Τὰ εἰς ωος μὴ συναιρούμενα, ἅτινα καὶ ὑπογράφονται κτητικὰ ὄντα: πατρῷος.

Τὰ εἰς ωναξ: χειρῶναξ.

Τὰ εἰς ωνια καὶ ωνιος μονογενῆ εἰρωνία, Ἀντώνιος· πλὴν τῶν ἐχόντων ἀπὸ πρωτοτύπων τὸ ο μικρὸν: Σαρπηδονία, Μακεδονία.

Τὰ εἰς ώνη μὴ ὀξύτονα: Δωδώνη, κορώνη· καὶ τὰ ἐκ μονοσυλλάβων ῥημάτων παραγόμενα: φῶ, φωνή· πλὴν τοῦ ἀκόνη, ἀγχόνη, βελόνη, εὐφρόνη, ὀθόνη, περόνη, σφενδόνη, Σωφρόνη, Σολομόνη τῷ ο.

Τὰ εἰς ωνα ὑπερδισύλλαβα: Ματρῶνα

Τὰ εἰς ωλος ὀξύτονα, ἕωλος, φειδωλός· πλὴν τοῦ θολὸς, ἀβολός.

Τὰ εἰς ωρος ὀξύτονα ὑπερδισύλλαβα: τιμωρός.

Τὰ εἰς ωρα παροξύτονα: χώρα.

Τὰ εἰς ωτος: τρωτός· πλὴν τῶν ἀπὸ τῶν εἰς ος ὀνομάτων: νέος, νεοττός.

Τὰ ἔχοντα τὸ ι ἀρκτικὸν καὶ ἀμέσως ἑπόμενον τὸ ω: Ἰωνία· πλὴν τοῦ Ἰόνιον, καὶ τῶν ἐκ τοῦ ιος συνθέτων: Ἰόλεως.

Τὰ εἰς μα Ῥηματικὰ: χρῶμα· πλὴν τῶν ἀπὸ τῶν εἰς μι δόμα, πόμα.

Τὰ σύνθετα ἐκ τοῦ ὀβολὸς, ὀδόνη, ὁμαλὸς, ὀφθαλμός, ὄφελος, ςοὰ, ςόμα, ὄρος, ὀλῶ, ὁμοῦ, ὄνομα, ὄνυξ, χρέος: πεμπώβολον, ἀνώδυνος, ἀνώμαλος, μονώφθαλμος, κοινωφελὴς, πρώςοον, ςωϊκὸν, ςωμύλος, ἀκρώρεια, ἐξώλης, ἀμώμοτος, ἀνώνυμος, μονώνυξ, χρεωφειλέτης· πλὴν τοῦ χρεοκόπος, χρεολύτης.

Τὰ ἐκ τοῦ γῆρας ἑνὸς ἑπομένου, συμφώνου τῇ ρω συλλαβῇ τῷ ω μέγαλῳ: γηρωκόμος. δυοῖν δὲ τῷ ο μικρῷ: γηροτρόφος.

Τὰ ἐκ τοῦ ὄροφος, ὄλεθρος, ὥσπερ καὶ τὰ εἰς οτερος καὶ οτατος· τὰ δὲ ἐκ τοῦ ὀρύττω ἔχοντα τὴν μετὰ τὸ ρ συλλαβὴν βραχεῖαν διὰ τοῦ ω μεγάλου γράφονται: τυμβωρύχος· μακρὰν δὲ φύσει, ἢ θέσει, ἢ κοινὴν διὰ τοῦ ο μικροῦ: φρεορύκτης· ὅθεν λέγεται.

Τὰ εἰ οτερος, οτατος, οσυνη, καὶ τὰ ἐκ τοῦ ὄλεθρος, ὄροφος ἔχοντα τὴν πρὸ τοῦ ω συλλαβὴν βραχεῖαν, διὰ τοῦ ω μεγάλου γράφονται· μακρὰν δὲ φύσει, ἢ θέσει, ἢ κοινὴν διὰ τοῦ ο μικροῦ.

Τὰ δὲ ἐκ τοῦ ὀρύττω τὴν μετὰ τὸ ω.

Τὰ εἰς ωςις βαρύτονα: ἀγρώςης, ἄγρωςις.

Τὰ εἰς ωτις παρώνυμα ἀπὸ τῶν εἰς ος ἢ εἰς α, τὰ μὲν ἀρσενικὰ καθαρὸν ἔχοντα τὸ ω διὰ τοῦ ω μεγάλου γράφονται: ἴδιος,, ἰδιώτης· ςρατιὰ, ςρατιώτης, οἷς ἠκολούθησε καὶ τὸ ἄμπωτις· μὴ καθαρὸν δὲ διὰ τοῦ ο μικροῦ: ἀγρὸς, ἀγρότης· τὸ δὲ θιασώτης ἀπὸ τοῦ θιασῶν, καὶ δεσμώτης, εὐρώτης, πληρωτὴς καὶ τὰ τοιαῦτα ἀπὸ τῶν ἰδίων Ῥημάτων.

Τὰ δὲ εἰς οτης θηλυκὰ διὰ τοῦ ο μικροῦ: ὅσιος, ὁσιότης.

Ὅσα τῷ ο.

Τὰ εἰς οχος, οχη, οπος, οπη, οςος, οχος, οχη: δωροδόχος, ἰςοδόχη, μαςροπὸς, Ἰόπη, πολλοςος, Ἀντίοχος, ἐποχή. πλὴν τῶν ἐχόντων ἑκατέρωθεν τὸ αὐτὸ σύμφωνον: ἀκωκὴ, καὶ τοῦ Ἰωκὴ, ἀνωχὴ, ἀναχωχὴ, καὶ τοῦ ἀγρώπη, Εὐρώπη, κερκώπη, περιωπὴ, Σινώπη, σιωπὴ, καὶ ὅλως τῶν ἀπὸ τοῦ ωψ, ἐξαιρουμένων τοῦ Αἰθίοψ, Κέκροψ, οἴνοψ, Πέλοψ: μικρογραφομένων.

Τὰ εἰς ορας,, ορια: Πυθαγόρας, ἐξορία· πλὴν τοῦ γειώρας, καὶ τῶν ἀπὸ τοῦ ὅρος ψιλουμένου καὶ ὥρα: ἀκρώρεια, διωρία.

Τὰ ἀπὸ τῶν εἰς ος εἰς οτης θηλυκὰ: φίλος, φιλότης· καὶ τὰ ἀπὸ τῶν εἰς ος ἢ εἰς ον: δῆμος, δημόσιος· δῶρον, δωροδόκος· καὶ τὰ ἐκ τῶν εἰς ω Ῥημάτων συγκείμενα: φιλῶ φιλόθεος.

Καὶ ἐν γένει τὸ ο μεσοσυλλαβοῦν δύο ἑπομένων συμφώνων ἐν ἁπλῇ λέξει μικρογραφεῖται: κόγχη,

Περὶ τῶν Παραληκτικῶν τοῦ Ἐνεςῶτος.

Ὅσα τῷ ε.

Τὰ εἰς εζω: πιέζω· πλὴν τοῦ παίζω.

Τὰ εἰς εθω, ελω, επω, εσσω, εχω: φλεγέθω, θέλω, ἕπω, πυρέσσω, τρέχω.

Τὰ εἰς εω συναιρούμενα: γρηγορέω· καὶ μόνα τὰ ξέω, σβέω ἐκ τῶν μὴ συναιρουμένων·

Τὰ εἰς εω περισπώμενα: ςερεῶ· πλὴν τοῦ περαιῶ ἐκ τοῦ περαία· καὶ ὅλως τῶν ἀπὸ ὀνομάτων διφθογΓογραφουμένων: βέβαιον, βεβαιῶ· γαῖα, γαιῶ· κραταιὸς, κραταιῶ.

Ὅσα τῇ αι.

Τὰ εἰς αινω, αιρω: ὑφαίνω, χαίρω. πλὴν τῶν ἐχόντων σύςοιχον ὄνομα παραλῆγον εἰς ε ἢ ο: δέρω, δορά· μένω, μόνος· πένω, πόνος· περῶ, πόρος· σθένω, σθένος. κ, τ. λ. καὶ πλὴν τοῦ ἔῤῥω τὸ φθείρω ἢ φθείρομαι· ἔρω, ἔρομαι τὸ ἐρωτῶ· ταῦτα γὰρ πάντα τῷ ε.

Ὅσα τῷ η.

Τὰ εἰς ηγω, ηθω, ηκω, ηπω: θήγω (τὸ ἀκονω) νήθω, ἥκω, σήπω· πλὴν τοῦ θίγω (τὸ ἐγγίζω) μαςιγῶ, πνίγω, ῥιγῶ, σιγῶ, σμίγω, σφριγῶ, βρίθω τῷ ι· καὶ ἐπείγω, πείθω, δείκω,

εἴκω, ἐρείπω λείπω, τῇ ει· καὶ ἀνοίγω τῇ οι· καὶ τρυγῶ, συγῶ, πύθω, ἐξ οὗ τὸ πυνθάνομαι, μινύθω, ἐρύκω, λυπῶ τῷ υ.

Ὅσα τῇ ει

Τὰ εἰς ειω ἐφετικὰ βαρύτονα μὲν τῇ ει: γελασείω· περισπώμενα δὲ, τῷ ι: μαθητιῶ· πλὴν τοῦ βασιλειῶ τῇ ει·

Τὰ εἰς ειδω: φείδω. φείδομαι· πλὴν τοῦ ἥδω, κήδω, μήδω, πηδῶ, φιληδῶ τῷ η· καὶ τοῦ οἰδῶ τῇ οι· καὶ τοῦ μυδῶ τῷ υ.

Τὰ εἰς ἀμετάβολον λήγοντα, καὶ εἰς μελλοντικὴν σημασίαν περισπώμενα, τῷ ε παραλήγουσι, κερῶ ἐκ τοῦ κείρω· κτενῶ ἐκ τοῦ κτείνω.

Τὰ ἔχοντα σύςοιχον ὄνομα παραλῆγον εἰς οι ἢ εἰς ου: ἀμοιβὴ, ἀμείβω· κουρὰ, κείρω.

Τὰ εἰς εινω ὑπερδισύλλαβα εἰ μὲν πρὸ τοῦ ει ἔχει φωνῆεν τῇ ει: ἐρεείνω· πλὴν τῶν ἀπὸ τῶν εἰς υς καθαρῶν: πραῢς, πραΰνω· εἰ δὲ σύμφωνον τῷ υ: ἀμύνω. κ. τ. λ. πλὴν τοῦ ὀρίνω, ὠδίνω τῷ ι.

Τὰ εἰς ιπτω δισύλλαβα τῷ ι: νίπτω, ῥίπτω. καὶ

Τὰ εἰς ισκω: εὑρίσκω· πλὴν τοῦ ἀλδήσκω, θνήσκω, κικλήσκω, μιμνήσκω τῷ η· καὶ μεθύσκω τῷ υ.

Τὰ εἰς ιζω τῷ ι: ἁγνίζω· πλὴν τοῦ δανείζω τῇ ει, καὶ ἀθροίζω τῇ οι· καὶ βαΰζω, βύζω, βλύζω, βρύζω, γογγύζω, ἑρπύζω, ἰΰζω, κλύζω, λύζω, μύζω, ὀλολύζω, ποππύζω, σκύζω, σφύζω, τρύζω τῷ υ.

Ὅσα τῷ υ.

Τὰ εἰς υπτω ὑπερδισύλλαβα, υρω βαρύτονα: καλύπτω, σύρω· πλὴν τοῦ ἀγείρω, ἐγείρω, ἐθείρω, εἴρω, κείρω, μείρω, οἰκτείρω, πείρω, σπείρω, τείρω, φθείρω, τῇ ει· περισπώμενα δὲ τῷ η: πηρῶ, ἐξαιρουμένων τοῦ πειρῶμαι τῇ ει, καὶ τῶν ἀπὸ πρωτοτύπου: ὀχυρὸς, ὀχυρῶ.

Ὅσα τῷ ω.

Τὰ εἰς ωγω, ωζω, ωθω, ωσκω, ωσσω: τρώγω, οἰμώζω, κλώθω, τιτρώσκω, ἀγρώσσω· πλὴν τοῦ ἁρμόζω, ὄζω, δεσπόζω, ὅθω, ὄθομαι (τὸ ἐπιστρέφομαι ἢ φροντίζω) βόσκω, ὄσσω, καὶ τῶν ἐκ παραγωγῆς· τὰ γὰρ παράγωγα φυλάττουσι τὸ τοῦ πρωτοτύπου ὡς ἐπὶ τὸ πλεῖστον.

Τὰ ἔχοντα σύστοιχον ὄνομα εἰς ο παραλῆγον, καὶ μετασχηματιζόμενα εἰς περισπώμενα: νέμω. νόμος, νωμῶ· τρέπω, τρόπος, τρωπάω, τρωπῶ· στρέφω, στρόφος, στρωφῶ.

Περὶ Ἐπιῤῥημάτων.

Τὰ εἰς ε ἢ ες τῷ ε γράφεται: ποτὲ, διαμπερές· πλὴν τοῦ ἀτταταὶ, βαβαὶ, οὐαὶ, πάλαι, παπαί.

Τὰ εἰς ην τῷ η: πρώην· πλὴν τοῦ νῦν τῷ υ· καὶ τοῦ κατόπιν, πάλιν, πρὶν τῷ ι.

Τὰ εἰς ις τῷ ι: πολλάκις· πλὴν τοῦ αἴφνης, ἐξαπίνης, ἔμ-

πης, ἑξῆς, ἐπίσης τῷ η.

Τὰ εἰς ει ὀξύτονα εἰ μὲν ἔχει καθαρὸν τὸ ει ἢ μετὰ τοῦ θ, λ, μ, ξ, χ, ψ, τῇ ει: αὐτοβοεὶ, ἀμοχθεὶ, ἀσυλεὶ, πανδημεὶ αὐτολεξεὶ, ἀμαχεὶ, αὐτοψεί· πλὴν τοῦ πρωῒ, ἀμισθὶ, ἀνωνυμὶ, τῷ ι· εἰ δὲ μεθ᾽ ἑτέρου τινὸς συμφώνου τῷ ι: νεωστί· πλὴν τοῦ ἀθαμβεὶ, ἀσπουδεὶ, ἀκηρυκτεὶ, ἐκεῖ, πανθοινεὶ, πανοικεὶ, ἀφανεὶ, ἀφετεὶ, προῤῥιζεὶ τῇ ει· καὶ ἁμαρτῇ, παγγενῇ, εἰκῇ, δηλαδὴ, μὴ, νὴ, ὠὴ, Ἰωὴ τῷ η· καὶ ἀντικρὺ, μεταξὺ τῷ υ· καὶ οἴκοι τῇ οι παροξυτόνου.

Τὰ εἰς ον τῷ ο μικρῷ: σχεδόν· πλὴν τοῦ ἐμποδὼν, χρεὼν τῷ μεγάλῳ.

Τὰ εἰς ως τῷ μεγάλῳ: καλῶς, ὡς· πλὴν τοῦ ἔναγχος, ἐκτὸς, ἐντὸς, τῆμος, ἦμος, πάρος.

Τὰ εἰς ω τῷ ω μεγάλῳ: ἄνω· πλὴν τοῦ δεῦρο

Τὰ εἰς ικα, ιον τῷ ι: αὐτίκα, ἔγγιον.

Τὰ πάνυ, πέρισυ, γρῦ τῷ υ.

Τὰ ἐπιῤῥήματα φυλάττουσι τὴν παραλήγουσαν τὴν αὐτὴν τοῖς πρωτοτύποις: ἄνω, ἄνωθεν· δικαίων, δικαίως· πλὴν τοῦ ἀμφοτέρωθεν, ἑκατέρωθεν, ἑτέρωθεν παραληγόντων τῷ ω μεγάλῳ διὰ τὸ πλῆθος τῶν βραχέων, καίτοι τὰ πρωτότυπα μικρογραφοῦνται: ἑκάτερος, ἕτερος.

Περὶ Συνθέσεως δύο Λέξεων εἰς μίαν.

Ἡ ἐκ δύο λέξεων εἰς μίαν Σύνθεσις γίνεται ἢ ἐξ ἀμφοτέρων τελείων: χειριδωτός· ἢ ἐξ ἀμφοτέρων ἀπολειπουσῶν: Σοφοκλῆς· ἢ ἐξ ἀπολειπούσης καὶ τελείας: φιλόδημος.

Περὶ Συνθέσεως Ὀνομάτων.

Τὰ εἰς α λήγοντα Θηλυκὰ, τῆς ἑπομένης λέξεως ἀπὸ συμφώνου μὲν ἀρχομένης, τριχῶς συντίθενται.

Α'. Φυλάττοντα τὸ α: σκιὰ, σκιαγραφῶ, σκιαγραφία.

Β'. Τρέποντα τὸ α εἰς ο: ὡροδείκτης, ὀπωροφυλάκιον.

Γ'. Τρέποντα τὸ α ἔχον προκείμενον ἑαυτοῦ τὸ ε εἰς ω: γέα, γεωμέτρης.

Ἀπὸ δὲ φωνήεντος ἀρχομένης, διχῶς συντίθενται.

Α'. Ἀποβάλλοντα τὸ α: μουσηγέτης.

Β'. Τρέποντα τὸ α εἰς ο: μουσοεργὸς καὶ μουσουργός.

Τὰ εἰς η λήγοντα θηλυκὰ, κατὰ μὲν τὴν ἀρχὴν τῆς Συνθέσεως γινομένης, συμφώνου μὲν ἑπομένου, τριχῶς συντίθενται

Α'. Φυλάττοντα τὸ η: βοὴ, βοηθός· γῆ, γηπόνος.

Β'. Τρέποντα τὸ η εἰς ο: τιμὴ, τιμόθεος.

Γ'. Τρέποντα τὸ η εἰς ι: εἵλη, εἰλικρινής.

Φωνήεντος δ' ἑπομένου, διχῶς συντίθενται.

Α'. Τρέποντα τὸ η, εἰς ο, τοῦ ε ἐπιφερομένου: καλάμη, καλαμοειδής.

Β'. Ἀποβάλλοντα τὸ η, ἑτέρου φωνήεντος ἐπιφερομένου: νύμφη, νυμφαγωγός.

Κατὰ δὲ τό τέλος γινομένης τῆς Συνθέσεως, τετραχῶς συντίθενται.

Ά. Φυλάττοντα τὸ αὐτὸ τέλος καὶ τὸ αὐτὸ γένος: μάχη, Ἀνδρομάχη.

Β΄. Φυλάττοντα τὸ η καὶ προσλαμβάνοντα τὸ σ: γυνὴ, μισογύνης.

Γ΄. Τρέποντα τὸ τέλος εἰς ος: μάχη, πρόμαχος.

Δ΄. Τρέποντα τὸ τέλος εἰς ον: τιμὴ, πολύτιμον.

Τὰ εἰς α οὐδέτερα τετραχῶς συντίθενται.

Ά. Φυλάττοντα τὸ αὐτὸ τέλος καὶ τὸ αὐτὸ γένος: γράμμα, σύγγραμμα.

Β΄. Τρέποντα τὸ α εἰς τὴν ος κατάληξιν: σῶμα, εὔσωμος

Γ΄. Τρέποντα τὸ α εἰς τὴν ων κατάληξιν: αἷμα, ἀναίμων. εἶμα, λευχείμων.

Δ΄. Φυλάττοντα τὸ αὐτὸ τέλος τῆς γενικῆς, ἐξ ἧς συντίθενται: γράμμα, ἀγράμματος.

Τὰ εἰς ος ὀνομαστικῆς ὄντα, ἡ γενικῆς, κατὰ μὲν τὴν ἀρχὴν συντιθέμενα, ἀπὸ μὲν τοῦ η ἢ ε τῆς ἐπιφερομένης λέξεως ἀρχομένης, ἀποβάλλουσι τὸ σ: χεὶρ, χειρὸς, χειροήθης, χειροεργὸς καὶ χειρουργός· λιμὴν, λιμένος, λιμενοειδής.

Ἀπὸ δὲ ἄλλου φωνήεντος ἀρχομένης ἀποβάλλουσι τὴν ος συλλαβὴν: χρυσὸς, χρυσαυγὴς· φρὴν, φρενὸς, φρεναπάτης. τὸ δὲ ἱππῶναξ καὶ χειρῶναξ κατὰ κρᾶσιν γινόμενα τοῦ ο καὶ α εἰς ω, ἐξαιροῦνται.

Τῆς δὲ ἐπιφερομένης λέξεως ἀπὸ συμφώνου ἀρχομένης, δεκαχῶς συντίθενται:

Ά. Φυλάττοντα τὸ σ: Διὸς, Διόσκορος· λαὸς: λαοσσόος.

Β΄. Φυλάττοντα τὸ σ, καὶ τρέποντα τὸ ο εἰς ε: τέλος, τελεσφόρος.

Γ΄. Ἀποβάλλοντα τὸ σ: νῖκος, Νικόλαος· σώματος, σωματοφύλαξ.

Δ΄. Ἀποβάλλοντα τὸ σ. καὶ προσλαμβάνοντα τὸ ι: ὁδὸς, ὁδοιπόρος.

Ε΄. Ἀποβάλλοντα τὸ σ, καὶ τρέποντα τὸ ο εἰς η: ἔλαφος, ἐλαφηβόλος.

ς΄. Ἀποβάλλοντα τὸ σ, καὶ τρέποντα τὸ ο εἰς ι: ἀργὸς, ἀργίδημος.

Ζ΄. Ἀποβάλλοντα τὸ σ, καὶ τρέποντα τὸ ο εἰς ε: μένος, Μενέλαος.

Η΄. Φυλάττοντα τὸ σ, καὶ τρέποντα τὸ ο εἰς ε, καὶ προσλαμβάνοντα τὸ ι: πρῶτος Πρωτεσίλαος.

Θ΄. Ἀποβάλλοντα τὸ σ. καὶ τρέποντα τὸ ο εἰς ε, καὶ προσλαμβάνοντα τὸ ι: Ἄργος, ἀργειφόντης.

Ι΄. Ἀποβάλοντα τὸ σ, καὶ τρέποντα τὸ ο εἰς α καὶ προσλαμβάνοντα τὸ ι: κλυτὸς, Κλυταιμνήστρα.

Δοτικῆς δὲ ὄντα τὰ εἰς ος οὐδέτερα κατὰ τὴν ἀρχὴν συντιθέμενα, φυλάττουσι τὴν ει δίφθογγον, ἐπιφερομένου φωνήεντος, ἢ ἑνὸς συμφώνου: ὄρει, ὀρείαυλος, ὀρειγενής· τὸ δὲ κύριον Ὠριγένης ἐκ τοῦ ὦρος ὁ φύλαξ.

Δισυμφώνου δ᾽ ἑπομένου, ἀποβάλλουσι τὸ ε: ἔγχει, ἐγχίκτυπος, οἷς ἠκολούθησε καὶ τὸ ὀρίγανον· πλὴν τῶν ἀπὸ τοῦ κάλλος καὶ ὕψος· ταῦτα γὰρ ἀεὶ ἀποβάλλοντα τὸ ε, Ἰωταγραφοῦνται: Καλλίνικος, ὑψίκομος·

Κατὰ δὲ τὸ τέλος συντεθέμενα τὰ εἰς ος οὐδέτερα: ἐκ τῆς εὐθείας ἀεὶ γίνονται, καὶ φυλάττουσι τὴν ος κατάληξιν:

νῖκος, ἀξιόνικος· πλὴν τοῦ εὐτείχεος; ἐκ τοῦ τείχεος, καὶ τοῦ ἀτελὴς τρέποντος τὸ ο εἰς η.

Τὰ εἰς υς κατὰ μὲν τὴν ἀρχὴν συντιθέμενα ἀποβάλλουσι τὸ σ: πολὺς, πολύφημος, πολυΰμνητος· πλὴν τοῦ Πολύμνια συναποβάλλοντος καὶ τὸ υ· τὸ δὲ ἥμισυς ἀποβάλλει τὴν συς συλλαβήν: ἡμιθανής· τὸ δὲ ἡμισύθλαστον ποιητικόν, ἀντὶ τοῦ ἡμίθλαστον.

Κατὰ δὲ τὸ τέλος συντίθενται διττῶς:

Α΄. Φυλάττοντα τὸ υ, καὶ ἀναβιβάζοντα τὸν τόνον: δριμὺς, ἄδριμυς.

Β΄. Μεταβάλλοντα τὸ υ εἰς η, καὶ φυλάττοντα τὸν τόνον: ἡδὺς, ἀηδής. βαρὺς, ἀβαρής· πλὴν τοῦ ὠκὺς καὶ τὸ υ μεταβάλλοντος, καὶ τὸν τόνον ἀναβιβάζοντος· ποδώκης.

Τὰ εἰς ηρ κατὰ τὸ τέλος συντιθέμενα ἀναβιβάζουσι τὸν τόνον καὶ τρέπουσι τὸ η εἰς ω: πατὴρ, προπάτωρ· τὸ δὲ ἀνὴρ τρέπει καὶ τὸ η εἰς ω καὶ τὸ α εἰς η: ἀνὴρ, Ἀντήνωρ, εὐήνωρ.

Ἔνια τῶν ὀνομάτων κατὰ τὸ τέλος συντιθέμενα τρέπουσι τὸ ἀρκτικὸν φωνῆεν: τὸ μὲν α εἰς η, τὸ δὲ ο μικρὸν, εἰς ω μέγα, ἄνεμος, πανδήνεμος· ὀδύνη, ἀνώδυνος· τὸ δὲ ὄνομα, ἀνώνυμος τρέπει καὶ τὸ παραλῆγον ο μικρὸν εἰς υ. Τὸ μέντοι ὀδοὺς τρέπον τὴν ους λήγουσαν εἰς ων, τρέπει καὶ τὸ ἀρκτικὸν ο μικρὸν εἰς ω μέγα: ὀδοὺς, χαλκώδων.

Περὶ συνθέσεως Ῥημάτων.

Τὰ Ῥήματα κατ᾽ ἀρχὴν μὲν συντιθέμενα, τῆς ἐπιφερομένης λέξεως ἀπὸ φωνήεντος μὲν ἀρχομένης, ἀποβάλλουσι τὸ ω ληκτικόν: φιλῶ, Φίλιππος· ἀλέξω, Ἀλέξανδρος· πλὴν τοῦ

φερέοικος, ἁμαρτοεπὴς, φιλοΐςωρ, τρεπόντων τὸ ω μέγα εἰς ο μικρόν.

Ἀπὸ δὲ συμφώνου ἀρχομένης, τὰ μὲν περισπώμενα Ἐνεςῶτος, ἢ Μέλλοντος ὄντα τρέπουσι τὸ ω μέγα εἰς ο μικρόν: φιλῶ, φιλόθεος· ἢ εἰς ι: ἀρνήσω, ἀρνησίθεος· οἰδῶ, Οἰδίπους· ἐράσω, ἐρασιχρήματος.

Τὰ δὲ βαρύτονα εἰ μέν εἰσιν Ἐνεςῶνος, τρισύλλαβα μὲν ὄντα μίαν συλλαβὴν συγκόπτουσι: τανύω, τανύπεπλος· πλὴν τῶν ἀπὸ τοῦ ἐθέλω τρέποντος τὸ ω μέγα μόνον εἰς ο μικρόν: ἐθελοθρησκεία· τὸ δὲ ἀλεξίκακος καὶ τὰ τοιαῦτα ἐκ τοῦ περισπωμένου ἀλεξῶ.

Δισύλλαβα δὲ τρέπουσι τὸ ω μέγα εἰς ε: φέρω, φερένικος, ἢ εἰς ι: τέρπω, τερπικέραυνος, Μέλλοντος δὲ ὄντα, παραλήγοντα μὲν τῷ ι, τρέπουσι τὸ ω μέγα εἰς ο μικρὸν: βρίσω, βρισόμαχος· μίξω, μιξοβάρβαρος· ἄλλῳ δέ τινι παραλήγοντα, τρέπουσι τὸ ω μέγα εἰς ι: μέμψω, μεμψίμοιρος· φύσω, φυσίζωος· πλὴν τοῦ δρύψω, δρυψόπαις.

Ἀορίςου δὲ ὄντα ἢ Παρατ. συντίθενται ἀφαιρέσει τῆς αὐξήσεως καὶ τοῦ ληκτικοῦ ν: ἔφανον, Φανόδημος· ἔφυγον, φυγόπολις.

Κατὰ δὲ τὸ τέλος συντιθέμενα μεταβάλλουσι τὸ ληκτικὸν ω καὶ εἰς ἄλλας καταλήξεις μάλιςα δὲ εἰς τὴν ης καὶ ος: κρατῶ, Ἰσοκράτης. πορθῶ, πτολίπορθος· ἔφαγον, ἀδδηφάγος. κ. τ. λ.

Τὰ μὲν ἐγείρω, ἀγορῶ, ἄγω, ἀκούω, ἐλαύνω, ἐλεύθω τρέπουσι τὸ ἀρκτικὸν α ἢ ε εἰς η: ὁμηγερέες, δημηγόρος, διηγῶ, διηγοῦμαι· πλὴν τοῦ ξεναγῶ· ὑπήκοον, ἱππήλατος, νέηλυς.

Τὰ δὲ ὀλῶ καὶ ὀρύττω τρέπουσι τὸ ἀρκτικὸν ο μικρὸν εἰς ω μέγα, ὡς εἴρηται: ἀπώλεια, τυχωρύχος.

Περὶ Συνθέσεως Ἐπιῤῥημάτων.

Τὰ εἰς κις Ἐπιῤῥήματα συντιθέμενα ἀποβάλλει τὴν κις συλλαβήν: ἑξάκις, ἑξάμηνος, ἑξάπους· συντιθέμενα δὲ μετὰ τοῦ χίλια, μύρια, φυλάττουσι τὴν κις: ἑπτακισχίλια, ἑπτακισμύρια.

Τὰ δὶς καὶ τρὶς, ἐπιφερουμένου συμφώνου ἢ η, ο, ω ἀποβάλλουσι τὸ σ: δίπηχυς, τρίπηχυς, διήμερος, τριήμερος, δίοδος, τρίοδος, διώβολον, τριώβολον· πλὴν τοῦ δισθανὲς, δισαφὲς, διστυγὲς, τρισμάκαρ, τρισκατάρατος, τρισκατάπτυστος, τρισκακοδαίμων· καὶ τῶν μετ' ἀριθμητικῶν συντιθεμένων: δισχίλιοι, τρισχίλιοι, καὶ τοῦ τρισόλβιος.

Ἑτέρου δὲ φωνήεντος ἐπιφερομένου, φυλάττουσι τὸ σ: δισέγγονος, τρισέγγονος· πλὴν τοῦ διετὲς, τριάρμενον, τριέλικτος, τριέμβολον, τρίενον, τριέσπερος, τριετές.

Τὸ ὁμοῦ, ἐπιφερομένου μὲν συμφώνου, ἢ υ ἀποβάλλει τὸ υ: ὁμόσκηνος, ὁμόϋπνος.

Φωνήεντος δὲ, ἢ διφθόγγου ἀποβάλλει τὴν ου: ὅμηλιξ, ὁμέστιος, ὁμευνέτης, ὁμαίμων· πλὴν τοῦ ὁμοούσιος ἀντὶ τοῦ σπανιώτατα εὑρισκομένου ὁμούσιος.

Τὰ ἐκ τοῦ ἄγχι συγκείμενα, ἐπιφερομένου φωνήεντος, ἀποβάλλουσι τὸ ληκτικὸν ι: ἄγχορος καὶ ἀγχοῦρος ἀπὸ τοῦ ἀγχοῦ καὶ ὅρος· πλὴν τοῦ Ἀγχίαλος· Συμφώνου δὲ, φυλάττουσι τὸ ληκτικὸν ι: ἀγχίθυρος, ἀγχίμαχος καὶ ἀγχέμαχος, τὸ μὲν πρῶτον ἀπὸ τοῦ ἀγχὶ, τὸ δὲ δεύτερον ἀπὸ τοῦ ἄγχος.

ΠΙΝΑΞ

Τῶν Ἀνωμάλων Ῥημάτων τῶν παρὰ Λογογράφοις εὐχρήστων.

Α.

Ἀγάλλομαι καὶ Ἀγαλλιῶμαι· παρατ. Ἠγαλλόμην καὶ Ἠγαλλιώμην· παρακ. Ἠγαλλίαμαι· Μέσ. μ. Ἀγαλλιάσομαι· Μέσ. ἀόρ. Ἠγαλλιασάμην.

Ἄγνυμι· παρατ. Ἤγνυον ἐκ τοῦ ἀγνύω· παρακ. Ἔαγα (ἐπὶ πάθους)· Μέλ. Ἄξω· Ἀόρ. Ἔαξα (Παθ. Ἐάγην), ἀπὸ τοῦ ἄγω τοῦ κλῶ.

Ἄγω· παρατ. Ἦγον· παρακ. Ἦχα, καὶ Ἀττικῶς Ἀγήοχα· Μέλ. Ἄξω· Ἀόρ. Ἦγον καὶ Ἤγαγον ἐπενθέσει τῆς γα, παρατ. ἀντὶ ἀορ. λαμβανόμενος· παρακ. Παθ. Ἦγμαι.

Ἄγαμαι· παρατ. Ἠγάμην, κατὰ τὸ ἵσαμαι· παρακ. Ἤγασμαι· Μ. Ἀγάσομαι· Ἀόρ. Ἠγάσθην, ἐκ τοῦ ἀγάζομαι· Μέσ. Ἀόρ. Ἠγασάμην.

Αἰδέομαι, οῦμαι· παρατ. Ἠιδεόμην, ούμην· παρακ. Ἤιδεσμαι· Ἀόρ. Ἠιδέσθην· Μέλ. Αἰδεσθήσομαι· καὶ Αἰδέσομαι Μέσ. μέλλων.

Αἱρέω, ῶ· παρατ. Ἥιρεον, ουν· παρακ Ἥιρηκα· Μέλ. Αἱρήσω· Ἀόρ. Εἷλον παρατ. τοῦ ἕλω, ἐξ οὗ σπανίως ἑλῶ (Παθ. Ἥιρημαι, Ἡιρέθην).

Αἰσθάνομαι· παρτ. Ἠισθανόμην· παρκ. Ἤισθημαι· Μ· Αἰσθήσομαι ἐκ τοῦ αἰσθέομαι· Α. Ἠισθόμην παρατατ. τοῦ αἴσθομαι.

Αἰσχύνομαι· παρτ. Ἠισχυνόμην ·παρκ. Ἤισχυμμαι· Α. Ἠισχύνθην· Μ. Αἰσχυνθήσομαι καὶ Αἰσχυνοῦμαι (περισπώμενος Ἐνεστὼς).

Ἀπαιωρέω, ῶ· παρτ. Ἀπηώρεον· παρκ. Ἀπηώρηκα· Μ. Ἀπαιωρήσω· Α. Ἀπηώρησα.

Ἀλέξω· παρτ. Ἤλεξον (κατὰ συγκοπὴν ἀπὸ τοῦ ἀλεξέω) ἐξ οὗ παρκ. Ἠλέξηκα· κ. τ. λ.

Ἀλέω καὶ ἀλήθω· παρκ. Ἤλεκα (Ἀλήλεσμαι Ἀττικ. Παθητ. παρακείμ.)· Μ. Ἀλέσω· Α. Ἤλεσα.

Ἀλίσκομαι· παρτ. Ἠλισκόμην· παρκ. Ἤλωκα καὶ Ἑάλωκα (ἐπὶ πάθους)· Μ. μ. Ἀλώσομαι ἐκ τοῦ ἀλόω· Α. Ἤλων καὶ Ἑάλων (ἐπὶ πάθους) παρατατ. τοῦ ἄλωμι.

Ἀμαρτάνω· παρτ. Ἡμάρτανον· παρκ. Ἡμάρτηκα· Μ. μ. Ἀμαρτήσομαι ἐκ τοῦ ἀμαρτέω· Α. Ἥμαρτον (παρατατ. τοῦ ἀμάρτω).

Ἀμβλίσκω καὶ ἀμβλόω· παρτ. Ἤμβλισκον καὶ ἤμβλοον, συν· παρκ. Ἤμβλωκα· Μ. Ἀμβλώσω· Α. Ἤμβλωσα.

Ἀμύνομαι· παρτ. Ἠμυνόμην· Μ. Ἀμυνοῦμαι (περισπώμενος Ἐνεστὼς)· Μ. ά, Ἠμυνάμην.

Ἀμφιεννύω καὶ ἀμφιέννυμι· παρτ. Ἠμφιέννυον· παρκ. Ἠμφίεκα (Ἠμφίεσμαι παθητ.)· Μ. Ἀμφιέσω· Α. Ἠμφίεσα ἐκ τοῦ ἀμφιέω, ῶ.

Ἀπαναίνομαι· παρτ. Ἀπηναινόμην· Α. Ἀπηνηνάμην.

Ἀναλίσκω· παρτ. Ἀνήλισκον· παρκ. Ἠνάλωκα καὶ ἀνήλωκα, καὶ Ἀττικῶς ἀνάλωκα· Μ. Ἀναλώσω· Α. Ἠνάλωσα καὶ

ἀνήλωσα, καὶ Ἀττικῶς ἀνάλωσα.

Ἀνοίγω· παρτ. Ἤνοιγον καὶ Ἀττικ. ἀνέῳγον· παρκ. Ἀνέῳγα· Μ. Ἀνοίξω· Ἀ. Ἤνοιξα καὶ Ἀττικ. ἀνέῳξα καὶ ἠνέῳξα.

Ἀπεχθάνομαι· παρτ. Ἀπηχθανόμην· παρκ. Ἀπήχθημαι· Μ. μ. Ἀπεχθήσομαι ἐκ τοῦ ἀπεχθέομαι, οῦμαι· Ἀ. Ἀπηχθόμην παρατατ. τοῦ ἀπέχθομαι.

Ἅπτομαι. παρτ. Ἡπτόμην· παρκ. Ἧμμαι· Μ. μ. Ἅψομαι. Μ. ἀόρ. Ἡψάμην.

Ἄρδω καὶ ἀρδεύω· παρτ. Ἦρδον καὶ ἤρδευον· παρκ. Ἤρδευκα· Μ. Ἀρδεύσω· Ἀ. Ἤρδευσα.

Ἀρέσκω· παρτ. Ἤρεσκον· Μ. Ἀρέσω· Ἀ. Ἤρεσα ἐκ τοῦ ἀρέω, ἐξ οὗ Ἤρεσμαι (παρακείμ. παθητ.).

Ἀρήγω· παρτ. Ἤρηγον. Μ. Ἀρήξω· Ἀ. Ἀπαρεμφ. Ἀρῆξαι.

Ἀρκοῦμαι· παρτ. Ἠρκούμην· παρκ. Ἤρκεσμαι· Ἀ. Ἠρκέσθην· Μ. Ἀρκεσθήσομαι καὶ ἀρκέσομαι.

Ἁρπάζω· παρτ. Ἥρπαζον· παρκ. Ἥρπακα· Μ. Ἁρπάσω· Ἀ. Ἥρπασα, ἐξ οὗ Ἡρπάγην (παθητ.).

Ἀσχάλλω· παρτ. Ἤσχαλλον.

Αὔξω καὶ αὐξάνω· παρτ. Ηὔξεον, ουν, καὶ ηὔξανον· παρκ. Ηὔξηκα. Μ. Αὐξήσω· Ἀ. Ηὔξησα.

Ἄχθομαι· παρτ. Ἠχθόμην· παρκ. Ἤχθεσμαι· Ἀ. Ἠχθέσθην· Μ. μ. Ἀχθέσομαι καὶ ἀχθήσομαι, ἐκ τοῦ ἀχθέομαι.

Β.

Βαίνω· παρτ. Ἔβαινον· παρκ. Βέβηκα. Μ. μ. Βήσομαι, ἀπὸ τοῦ βάω· Ἀ. Ἔβην παρτ. τοῦ βῆμι, ἐξ οὗ Προς. ἀνάβηθι τροπῇ τοῦ α εἰς η, καὶ ἀνάβα κατὰ συγκοπὴν τοῦ

θι· καὶ Παθητ. Παραβέβημαι καὶ παραβέβαμαι. Παρεβάθην Ἀόριϛ.

Βάλλω· παρτ. Ἔβαλλον· Μ. Βαλῶ περισπώμενος Ἐνεϛὼς τοῦ βαλέω, ἐξ οὗ κατὰ συγκοπὴν παρχ. Βέβληκα, ἀντὶ βεβάληκα· Α. Ἔβαλον, ἀντὶ τοῦ παρατατ. Ἐβάλεον.

Βαρύνω· παρτ. Ἐβάρυνον· Μ. Βαρυνῶ· Α Ἐβάρυνα· παρχ. Βεβάρηκα, ἐκ τοῦ βαρέω.

Βαϛάζω· παρτ. Ἐβάϛαζον· παρχ. Βεβάϛακα· Μ. Βαϛάσω Α. Ἐβάϛασα· Παθ. Βεβάϛαγμαι· Α Ἐβαϛάχθην. ἐκ τοῦ βαϛάγω.

Βιβρώσκω· παρτ. Ἐβίβρωσκον· παρχ. Βέβρωκα· Μ. Βρώσω καὶ βρώσομαι ἐκ τοῦ βρόω· Α. Ἔβρων, παρτ. τοῦ βρῶμι.

Βιόω, ῶ· παρτ. Ἐβίουν· παρχ. Βεβίωκα· Μ. Βιώσομαι· Α. Ἐβίωσα καὶ ἐβίων ἐκ τοῦ βιῶμι, ἐξ οὗ Εὐκτικ. Βιῴην· Ἀπαρέμφ. Βιῶναι· καὶ Μετοχ. Βιοὺς, ἅπερ καὶ εὐχρηϛότερα, ἢ τὸ βιοῖμι, βιῶσαι, καὶ βιώσας.

Βιώσκομαι καὶ ἀναβιώσκομαι [τὸ ἀναζῶ]· Α. Ἀνεβίων παρατατ. τοῦ ἀναβιῶμι.

Βιώσκομαι [μεταβακικῶς τὸ ζωογονῶ]· Α. Ἐβιωσάμην.

Βλαϛάνω· παρτ. Ἐβλάϛανον· παρχ. Βεβλάϛηκα· Μ. Βλαϛήσω· Α. Ἐβλάϛησα, ἐκ τοῦ βλαϛέω· καὶ Ἔβλαϛον παρατατ. τοῦ βλάϛω.

Βώσομαι, Ἔβωσα καὶ Ἐβώσθην προσλήψει τοῦ σ, εἰσὶν ἀντὶ τοῦ Βοήσομαι, ἐβόησα, ἐβοήθην ἐκ τοῦ Βοάω, συναιρέσει τοῦ οη εἰς ω Ἰωνικῶς.

Βόσκω· παρτ. Ἔβοσκον· παρχ. Βεβόσκηκα· Μ. Βοσκήσω· Α. Ἐβόσκησα ἐκ τοῦ βοσκέω.

Βούλομαι· παρτ. Ἐβουλόμην καὶ ἠβουλόμην· παρχ. Βέβουλα καὶ Βεβούλημαι· Α· Ἐβουλήθην καὶ ἠβουλήθην· Μ. μ.

Βουλήσομαι ἐκ τοῦ βουλέω.
Βρενθύομαι· παρτ. Ἐβρενθυόμην.
Βρίθω· παρτ. Ἔβριθον· παρκ. Βέβριθα.

Γ

Γαμέω, ῶ· παρτ. Ἐγάμεον, ουν· παρκ. Γεγάμηκα· Μ. Γαμήσω· Α. Ἐγάμησα, καὶ κατὰ ἀποκοπὴν καὶ μετάθεσιν Ἔγημα (ἢ ἐκ τοῦ γήμω), ἐξ οὗ Ἀπαρέμφ. Γῆμαι.
Γεραίρω· παρτ. Ἐγέραιρον.
Γήθομαι· παρκ. Γέγηθα· Ὑπερσ. Ἐγεγήθειν· Μ. μ. Γηθήσομαι ἐκ τοῦ γηθέομαι.
Γελασείω.
Γηράω καὶ γηράσκω· παρκ. Γεγήρακα· Μ. Γηράσω καὶ γηράσομαι· ἀόρ. Ἐγήρασα· ὁ δὲ ἀόριστ. τῆς Ἀπαρεμφ. Γηρᾶσαι καὶ Γηρᾶναι· καὶ Μετοχ. Γηρὰς ἐκ τοῦ γήρημι.
Γίνομαι καὶ γίγνομαι· παρτ. Ἐγινόμην· παρκ. Γεγένημαι (καὶ Γέγονα ἐκ τοῦ γένω)· Μ. μ. Γενήσομαι ἐκ τοῦ γενάομαι· ἀόρ. Ἐγενόμην παρατατ. τοῦ γένομαι.
Γινώσκω καὶ γιγνώσκω· παρτ. Ἐγίνωσκον· παρκ. Ἔγνωκα· Μ. Γνώσομαι ἐκ τοῦ γνόω (Παθητ. παρκ. Ἔγνωσμαι)· ἀόρ. Ἔγνων παρατατ. τοῦ γνῶμι, ἐξ οὗ Προστ. Γνῶθι· Εὐκτ. Γνοίην. Ἀπαρ. Γνῶναι. Μετ. Γνοὺς· καὶ ἀνέγνωσα.
Γοάω, ῶ· παρτ. Ἐγόαον· Μ. Γοήσω· ἀόρ. Ἔγοον· κατὰ συγκοπὴν ἐκ τοῦ ἐγόαον.
Γρηγορέω, ῶ· παρτ. Ἐγρηγόρεον· παρκ. Ἐγρηγόρηκα καὶ ἐγρήγορα· Μ. Γρηγορήσω· ἀόρ. Ἐγρηγόρησα.

Δ

Δαίω· Μ. μ. Δάσομαι· ἀόρ. Ἐδασάμην· Παθ. παρκ. Δέδασμαι ἀπὸ τοῦ δάω.

Δάκνω· παρτ. Ἔδακνον· παρκ Δέδηχα· Μ. μ. Δήξομαι ἐκ τοῦ δήκω· ἀόρ. Ἔδακον, παρατατ. τοῦ δάκω.

Δαμάω, ῶ· παρτ. Ἐδάμαον· ἀντὶ τούτου οἱ Λογογράφοι χρῶνται τῷ ὁμαλῷ Δαμάζω.

Δαρθάνω· παρτ. Ἐδάρθανον· παρκ. Δεδάρθηκα· Μ. μ. Δαρθήσομαι, ἐκ τοῦ δαρθέω· ἀόρ. Ἔδαρθον, παρτ. τοῦ δάρθω.

Δεδίττομαι· Ἐδεδιττόμην· Μ. μ. Δεδίξομαι· ἀόρ. Ἔδεισα· παρκ. Δέδοικα ἀντὶ Ἐνεϛ. ἐκ τοῦ δείδω ἐκβολῇ τοῦ δ καὶ προσλήψει τοῦ κ· καὶ Ἰωνικ. παρκ. Δέδια, ἐξ οὗ Προϛ. Δέδιθι καὶ δείδιθι. Μ. μ. Δείσομαι.

Δεῖ, Ἀπρόσωπ. παρτ. Ἔδει· μ. Δεήσει· ἀόρ. Ἐδέησε.

Δεικνύω καὶ δείκνυμι· παρτ. Ἐδείκνυον· παρκ. Δέδειχα· Μ. Δείξω· ἀόρ. Ἔδειξα ἐκ τοῦ δείκω.

Δέρω· παρτ. Ἔδερον· παρκ. Δέδερκα· Μ. Δερῶ καὶ δαρῶ ἐκ τοῦ δάρω, ἐξ οὗ Παθ. Δέδαρμαι, Ἐδάρην· ἀόρ. Ἔδειρα.

Δέω· παρτ. Ἔδεον· παρκ. Δέδεκα (Δέδεμαι, Ἐδέθην. Μ. μ. Δεθήσομαι)· Μ. Δέσω καὶ δήσω· ἀόρ. Ἔδησα καὶ ἔδεσα.

Διδάσκω· παρτ. Ἐδίδασκον· παρκ. Δεδίδαχα· Μ. Διδάξω· ἀόρ. Ἐδίδαξα ἐκ τοῦ διδάχω.

Διδράσκω· παρτ. Ἐδίδρασκον· παρκ. Δέδρακα· Μ. μ. Δράσομαι ἐκ τοῦ δράω· ἀόρ. Ἔδραν, αϛ, α, ἀντὶ Ἔδρην, παρατατ. τοῦ δρῆμι, ἐξ οὗ Προϛ. Δρᾶθι. Εὐκτ. Δραίην. Ἀπαρέμφ. Δρᾶναι. Μετοχ. Δράς.

Δοκέω· παρτ. Ἐδόκεον, ουν· παρκ. Λέδογμαι· Μ. Δόξω (καὶ δοκήσω)· ἀόρ. Ἔδοξα ἐκ τοῦ δόκω.

Δραμοῦμαι μέλ. περισπώμενος Ἐνεςτ. ἀόρ. Ἔδραμον, παρτ. τοῦ δράμω· παρκ. Δεδράμηκα ἐκ τοῦ δραμέω.

Δύναμαι· παρτ. κατὰ τὸ ἵςαμαι· παρκ. Δεδύνημαι· Μ. μ. Δυνήσομαι· ἀόρ. Ἐδυνήθην ἐκ τοῦ δυνέω.

Δύω [τὸ ἐνδύομαι]· παρτ. Ἔδυον· παρκ. Δέδυκα· Μ. Δύσω· ἀόρ. Ἔδυσα, ἐξ οὗ Παθ. Ἐδύθην.

Δύομαι [τὸ ἐμβαίνω] καὶ δύνω· Μ. μ. Δύσομαι· Μ. ἀόρ. Ἐδυσάμην καὶ ἔδυν παρατατ. τοῦ δῦμι· παρκ. Δέδυκα· Ὑποτακτ. Δύω. Ἀπαρ. Δῦναι. Μετοχ. Δὺς, δύντος· Δῦσα, δύσης· Δὺν, δύντος.

Ε.

Ἐγείρω· παρτ. Ἤγειρον (καὶ κατὰ συγκοπὴν Ἤγρον καὶ Ἠγρόμην· Ἀπαρ. Ἐγρέσθαι)· Μ. Ἐγερῶ· ἀόρ. Ἤγειρα· παραχ. Ἐγήγερκα.

Ἐθίζω· παρτ. Εἴθιζον· παρκ. Εἴωθα ἐκ τοῦ ἔθω ἐπενθέσει τοῦ ω· Μ. Ἐθίσω· ἀόρ. Εἴθισα.

Εἶδον ἀόρ, παρατατ. τοῦ εἴδω. Προς. Ἰδέ. Εὐκτ. Ἴδοιμι. Ὑποτ. Ἴδω. Ἀπαρ. Ἰδεῖν. Μετ. Ἰδών.

Εἵμαρται παραχ. τοῦ μείρεται· Ὑπερ. Εἵμαρτο. Μετ. Εἱμαρμένη καὶ εἱμαρμένον.

Εἶμι [τὸ πορεύομαι] ἐκ τοῦ ἔω· Ὑπερσ. ἀντὶ παρτ. Ἤειν, Ἤεις, Ἤει· ἀόρ. Ἴον παρτ. τοῦ ἰέω. Προς. Ἴθι καὶ εἶ, ἴτω, Εὐκτ. Ἴοιμι καὶ Ἰοίην. Ἀπαρ. Ἰέναι. Μετ. Ἰών. Μέσ. Ἵεμαι· παρτ. Ἱέμην· τὸ γὰρ ςοιχεῖον τοῦ Θέματός ἐςι τὸ ε, ὅπερ τρέπεται μετὰ τοῦ ι εἰς μακρὸν τὸ ει ἐν τῷ ἑνικῷ τῆς Ὁριςικῆς, ὡς καὶ ἐν τῷ τίθημι τὸ ε εἰς η· ἐν δὲ τῷ δυϊκῷ καὶ πληθυντικῷ καὶ Μέσῳ καὶ ἐν ταῖς ἄλ-

λαις ἐγκλίσεσι φυλάττεται τὸ ςοιχεῖον τοῦ Θέματος.

Εἶπα καὶ εἶπον ἀόρ. ἐκ τοῦ ἔπω. Προς. Εἰπὲ καὶ εἰπόν. Απαρ. Εἰπεῖνκαὶ εἶπαι. Μετ. Εἰπὼν καὶ εἴπας.

Εἴρηκα παρκ. τοῦ ἐρέω. Υπερσ. Εἰρήκειν (Παθητ. παρκ. Εἴρημαι. ἀόρ. Ἐῤῥέθην ἐκ τοῦ ῥέω. Μετ. Ῥηθεὶς τροπῇ τοῦ ε εἰς η· Μ. Ῥηθήσομαι)· Μ. Ἐρῶ Ἐνες. τοῦ ἐρέω.

Ἐλαύνω· παρτ. Ἤλαυνον· παρκ. Ἤλακα καὶ ἐλήλακα· Μ. Ἐλάσω· ἀόρ. Ἤλασα, ἐκ τοῦ ἐλάω.

Ἕλκω καὶ ἑλκύω· παρτ. Εἷλκον καὶ Εἵλκυον· Μ. Ἑλκύσω· ἀόρ. Εἵλκυσα.

Ἐμέω, ῶ· παρτ. Ἤμεον· Μ. Ἐμέσω· ἀόρ. Ἤμεσα.

Ἔοικα παρακ. τοῦ εἴκω [φαίνομαι] ἀντὶ Ἐνες. Υπερσ. Ἐῴκειν ἀντὶ παρτ. Μ. Εἴξω· ἀόρ. Εἶξα· τὸ δὲ Εἴκω τὸ ὑποχωρῶ ἐςιν ὁμαλόν.

Ἕπομαι· παρτ. Ἡπόμην· Μ. Ἕψομαι.

Ἐράω, ῶ· παρτ. Ἤρων, ων· ἀορ. Ἠράσθην· Μετ. Ἐρῶν καὶ Ἐρώμενος,

Ἔρομαι· παρ. Ἠρόμην· Μ. Ἐρήσομαι· ἀόρ. Ἠρόμην. Προςακτ· Ἔρου καὶ ἐροῦ· ἀόρ. Ἔρεσθαι καὶ ἐρέσθαι.

Ἔῤῥω· Μ. Ἐῤῥήσω. ἀόρ. Ἤῤῥησα, ἐκ τοῦ ἐῤῥέω.

Ἐρυγκάνω καὶ ἐρεύγομαι· παρτ. Ἠρευγόμην. Μ. μ. Ἐρεύξομαι· Μ. ἀόρ. Ἠρευξάμην, καὶ ἤρυγον παρτ. τοῦ ἐρύγω.

Ἐρυθαίνω· παρτ. Ἠρύθαινον· παρκ. Ἠρύθηκα· καὶ Παθ. Ἠρύθημαι ἐκ τοῦ ἐρυθέω. Μ, ἐρυθήσω καὶ ἐρυθανῶ.

Ἔρχομαι· παρτ. Ἠρχόμην· παρκ. Ἐλήλυθα· Μ, μ. ἐλεύσομαι ἐκ τοῦ ἐλεύθω· ἀόρ. Ἦλθον παρατ. τοῦ ἔλθω, ἐξ οὗ Προς. ἐλθὲ καὶ Απαρέμφ. ἐλθεῖν. Μετ. ἐλθών.

Ἐσθίω· παρτ. Ἤσθιον· παρκ. Ἐδήδωκα καὶ ἔδηδα (παθητ. Ἐδήδεσμαι, Ἠδέσθην) ἐκ τοῦ ἔδω, ἐξ οὗ μέλ. Ἔδομαι καὶ φάγομαι ἐκ τοῦ φάγω· ἀόρ. ἔφαγον παρτ. τοῦ φάγω.

Εὕδω καὶ καθεύδω· παρτ. Ἐκάθευδον· Μ. Καθευδήσω.

Εὑρίσκω· παρτ. Εὕρισκον· παρκ. Εὕρηκα· Μ. Εὑρήσω ἐκ τοῦ εὑρέω· Α. Εὗρον παρατ. τοῦ εὕρω· καὶ Μέσ. Εὑράμην καὶ εὑρόμην.

Εὔχομαι· παρτ. Εὐχόμην καὶ Ηὐχόμην· Μ. μ. Εὔξομαι· Μ. ἀ. Ηὐξάμην καὶ εὐξάμην.

Ἔχω· παρτ. Εἶχον· Μ. Ἕξω· παρκ. Ἔσχηκα, ἐκ τοῦ σχέω, ἐξ οὗ παρτ. ἔσχεον καὶ κατὰ συγκοπὴν ἔσχον ἀντὶ ἀορ. Προς. Σχὲς ἀντὶ τοῦ σχέθι τροπῇ τοῦ θ εἰς σ. Εὐκτ. Σχοίην. Ὑποτ. Σχῶ. Ἀπαρ. Σχεῖν. Μετ. Σχών.

Τὸ αὐτὸ μετὰ τῆς ἀμφὶ καὶ ὑπὸ προθ.

Ἀμπέχω· παρτ. Ἀμπεῖχον· μέλ. Ἀμφέξω· ἀ. Ἤμπισχον ἐκ τοῦ ἴσχω· καὶ Ἀπαρ. Ἀμπισχεῖν· καὶ Ἀμπέχομαι καὶ Ἀμπισχνοῦμαι· Μ. μ. Ἀμφέξομαι· Α. Ἠμπισχόμην παρτ. τοῦ ἀμπίσχομαι. Καὶ Ὑπισχνοῦμαι· παρτ. Ὑπισχνούμην· παρκ. Ὑπέσχημαι ἐκ τοῦ σχέω· Μ. μ. Ὑποσχήσομαι ἐκ τοῦ σχέω· Α. Ὑπεσχόμην κατὰ συγκοπὴν τοῦ παρατ. ὑπεσχεόμην, καὶ Ὑπεσχέθην, ἐξ οὗ Προςακτ. Ὑποσχέθητι.

Ἕψω· παρτ. Ἕψεον, ουν καὶ ἥψεον, ουν· μέλ. Ἑψήσω· Α. Ἕψησα.

Ζ.

Ζάω, ῶ· ζῇς, ζῇ· παρτ. ἔζων, ζῃς, ζῃ· μέλ. Ζήσω καὶ Ζήσομαι· Α. ἔζησα· Προς. Ζῆθι. Εὐκτ. Ζῴην. Ἀπαρέμφ. Ζῆν.

Ζέω· ζέεις, ζεῖς· ζέει, ζεῖ· παρτ. Ἔζεον· ἔζ-εες, εις· ἔζ-εε, ει· μέλ. Ζέσω· Α. Ἔζεσα.

Ζεύγνυμι· παρτ. Ἐζεύγνυον· παρκ. Ἔζευγα· μέλ. Ζεύξω· Α. Ἔζευξα καὶ ἔζυγον παρατατ. τοῦ ζύγω, ἐξ οὗ παθητ. Ἐζύγην.

Ζωννύω καὶ Ζώννυμι· παρτ. Ἐζώννυον· παρκ. Ἔζωκα (παθητ· Ἔζωσμαι)· μέλ. Ζώσω· Α. Ἔζωσα ἐκ τοῦ ζώω.

Η.

Ἡβάσκω καὶ Ἡβάω, ῶ· παρκ. Ἥβηκα· Μ. Ἡβήσω· Α. Ἥβησα.

Ἥδομαι καὶ Ἡδύνομαι· παρτ. Ἡδόμην καὶ Ἡδυνόμην· παρακ. Ἧσμαι· Α. Ἥσθην καὶ Ἡδύνθην· μέλ. Ἡσθύσομαι καὶ Ἡδυνθήσομαι.

Ἥκω· παρτ. Ἧκον· μέλ. Ἥξω.

Θ.

Θάλλω· παρτ. Ἔθαλλον· παρκ. Τέθηλα· Α. Ἔθαλον παρτ. τοῦ θαλέω· καὶ θαλῶ ἀντὶ μέλλοντος.

Θάπτω· παρτ. Ἔθαπτον· μέλ. Θάψω· Α. Ἔθαψα ἐκ τοῦ θάπω· (παθητ. Ἐτάφην).

Θέλω καὶ ἐθέλω· παρτ. Ἔθελον· παρκ. Τεθέληκα· Μ. Θελήσω· Α. Ἐθέλησα ἐκ τοῦ θελέω.

Θέω· θέεις, εῖς· θέει, εῖ· παρτ. Ἔθεον· Μ. μ. Θεύσομαι ἐκ τοῦ θεύω.

Θιγγάνω καὶ Θίγω· παρτ. Ἐθίγγανον· μέλ. Θίξω καὶ Θίξομαι· Α. Ἔθιγον παρτ. τοῦ Θίγω.

Θνήσκω· παρτ. Ἔθνησκον· μέλ. Θανοῦμαι ἐκ τοῦ θάνω, καὶ Τεθνήξομαι· Ἀ. Ἔθανον παρτ. τοῦ θάνω· παρκ. Τέθνηκα, καὶ Ἰωνικ. τέθναα, ἐξ οὗ Προς. Τέθναθι. Εὐκτ. Τεθναίην. Ἀπαρ. Τεθνάναι. Μετ. Τεθναώς.

Θρώσκω παρτ. ἔθρωσκον· μέλ. Θοροῦμαι· Ἀ. ἔθορον παρατατ. τοῦ θόρω.

I.

Ἵζω καὶ καθίζω· παρτ. Ἐκάθιζον· Μ. Καθίσω· Ἀ. Ἐκάθισα.

Ἱζάνω· παρτ. Ἵζανον· μέλ. Ἱζήσω· Ἀ. Ἵζησα· παρκ. Ἵζηκα ἀπὸ τοῦ ἱζέω.

Ἱκνέομαι, οῦμαι καὶ ἀφικνοῦμαι· παρτ. Ἀφικνούμην· παρακ. Ἀφῖγμαι· Μ. μ. Ἀφίξομαι· Ἀ. Ἀφικόμην, παρατ. τοῦ ἀφίκομαι.

Ἱλάσκομαι· παρτ. Ἱλασκόμην· παρκ. Ἵλασμαι· Μ. μ. Ἱλάσομαι· Ἀ. Ἱλάσθην ἐκ τοῦ ἱλάομαι. Προς. Ἱλάσθητι καὶ Ἵλαθι. Μ. ἀ. Ἱλασάμην.

Ἵπταμαι καὶ πέτομαι· παρτ. Ἱπτάμην καὶ ἐπετόμην: παρακ. Πέπταμαι· Ὑπερσ. Ἐπεπτάμην· Μ. μ. Πτήσομαι ἐκ τοῦ πετάομαι κατὰ συγκοπήν. Ἀ. Ἐπετάσθην· μέλ. Πετασθήσομαι· οἱ δὲ Ἀόριστοι τοῦ ἔπτην καὶ ἐπτάμην εἰσι παρατατ. τοῦ πτῆμι καὶ πτάμαι.

Ἴστημι ἄχρηστον, ἐξ οὗ Ἴσμεν, ἴστε, ἴσασι· καὶ Προς. Ἴσθι. καὶ Παθητικ. Ἴσαμαι, καὶ προσλήψει τοῦ τ, Ἵσταμαι καὶ ἐπίσταμαι, ἐπίστασαι, ἐπίσταται.

Ἴσχω· παρτ. Ἶσχον.

K.

Καθέζομαι· παρτ. Ἐκαθεζόμην· μέλ. Καθεδοῦμαι καὶ καθεσθήσομαι· Ἀ. Ἐκαθέσθην.

Κάθημαι, κάθησαι καὶ κάθῃ, κάθηται· παρτ. Ἐκαθήμην, ἐκάθησο, ἐκάθητο καὶ καθῆστο. Προσ. Κάθησο καὶ κάθου. Ἀπαρ. Καθῆσθαι. Μετ. Καθήμενος. Μ. μ. Καθήσομαι.

Καθαίρω· παρτ. Ἐκάθαιρον· παρκ. Κεκάθαρκα· μέλ. Καθαρῶ· Ἀ. Ἐκάθηρα καὶ καθῆρα· καὶ μέσ. Ἐκαθηράμην.

Καίω· παρτ. Ἔκαιον· παρκ. Κέκαυκα· μέλ. Καύσω· Ἀ. Ἔκαυσα ἐκ τοῦ καύω· καὶ ἔκηα καὶ ἔκαον παρτ. τοῦ κάω, ἐξ οὗ Παθ. Ἐκάην.

Καλῶ· παρτ. Ἐκάλουν· παρκ. Κέκληκα κατὰ συγκοπὴν ἐκ τοῦ κεκάληκα· μέλ. Καλέσω· Ἀ. Ἐκάλεσα.

Κάμνω· παρτ. Ἔκαμνον· παρκ. Κέκμηκα κατὰ συγκοπὴν ἐκ τοῦ κεκάμηκα· μέλ. Καμῶ· Ἀ. Ἔκαμον. παρτ. τοῦ κάμω, ἐξ οὗ τὸ καμέω.

Κεῖμαι, κεῖσαι, κεῖται ἐκ τοῦ κέεμαι, κέεσαι καὶ κατὰ συναίρεσιν κεῖμαι, κεῖσαι· παρτ. Ἐκείμην, ἔκεισο, ἔκειτο· Μ. μ. Κείσομαι. Προσακτ. Κεῖσο, κείσθω. Εὐκτ. Κεοίμην, κέοιο, κέοιτο· καὶ Ὑποτ. Κέωμαι (ἐκ τοῦ κέομαι βαρυτόνου), κέῃ, κέηται (καὶ κεῖμαι, κεῖσαι, κεῖται ἀνυποτάκτως)· Ἀπαρ. Κεῖσθαι. Μετ. Κείμενος.

Κεράννυμι καὶ κιρν-άω, ῶ, καὶ κίρνημι· παρκ. Κεκέρακα· μέλ. Κεράσω· Ἀ. Ἐκέρασα, ἐκ τοῦ κεράω. Παθ. Κεκέραμαι καὶ κεκέρασμαι καὶ κέκραμαι, ἐκράθην (κατὰ συγκοπὴν) καὶ ἐκεράσθην.

Κερδαίνω· παρτ. Ἐκέρδαινον· μέλ. Κερδανῶ καὶ κερδήσω·

Α. Ἐκέρδανα καὶ ἐκέρδησα.

Κλαίω· μέλ. Κλαύσομαι καὶ κλαυσοῦμαι· Α. Ἔκλαυσα ἐκ τοῦ κλαύω.

Κορεννύω καὶ κορέννυμι· παρτ. Ἐκορέννυον· παρκ. Κεκόρεκα· μέλ. Κορέσω· Α. Ἐκόρεσα· Παθητ. κεκόρεσμαι· Ἐκορέσθην, ἀπὸ τοῦ κορέω.

Κράζω· παρτ. Ἔκραζον· παρκ. κέκραγα· Μ. μ. κεκράξομαι· Α. Ἔκραξα καὶ ἐκέκραξα καὶ ἔκραγον παρατ. τοῦ κράγω.

Κρεμάω, ῶ καὶ κρεμάννυμι· παρτ. Ἐκρέμων· παρκ. κεκρέμακα· μέλ. κρεμάσω· Α. Ἐκρέμασα· τὸ δὲ Ἐκρεμάμην, ἐκρέμασο, ἐκρέματο ἐκ τοῦ κρέμαμαι, κρέμασαι, κρέμαται.

Κρεμῶμαι καὶ κρεμάννυμαι καὶ κρέμαμαι· παρτ. Ἐκρεμάμην· παρκ. κεκρέμαμαι. ἀόρ. ἐκρεμάσθην· μέλ. κρεμασθήσομαι καὶ κρεμάσομαι καὶ κρεμήσομαι· Εὐκτ. κρεμαίμην καὶ κρεμοίμην. Ὑποτ. ἐὰν κρέμωμαι, κατὰ τὰ Βαρύτονα: Γραφοίμην, γράφοιο, γράφοιτο· καὶ Ὑποτ. ἐὰν γράφωμαι.

Κτάομαι· παρτ. Ἐκταόμην, ώμην· παρκ. κέκτημαι ἀντὶ Ἐνεϛ. (Εὐκτικ. κεκτήμην)· Μ. μ. κτήσομαι· Μ. ἀόρ. Ἐκτησάμην.

Κτείνω· παρτ. Ἔκτεινον· παρκ. Ἔκτακα καὶ Ἀττικ. ἔκτονα· μέλ. κτενῶ· Α. Ἔκτεινα καὶ ἔκτανον παρατατ. τοῦ κτάνω. Ἀποκτειννῦναι Ἀπαρ. καὶ Μετ. Ἀποκτειννὺς, ἐκ τοῦ ἀχρήστου ἀποκτείννυμι.

Κυλίομαι καὶ κολίνδομαι καὶ κυλινδοῦμαι καὶ καλινδοῦμαι· πάρκ. κεκύλισμαι· ἀόρ. Ἐκυλίσθην καὶ ἐκυλισάμην· μέλ. κυλισθήσομαι καὶ κυλίσομαι.

Κυνέω [τὸ φιλῶ]· παρτ· Ἐκύνεον· μέλ. κυνήσομαι (ἢ κύσω· ἀόρ. ἔκυσα, ἐκ τοῦ κύω), ἐξ οὗ τὸ ὁμαλὸν Προσκυνέω.

Μ.

Μαίνομαι· παρτ. Ἐμαινόμην· παρκ. Μέμηνα· μέλ. Μανοῦμαι· Α. Ἐμάνην.

Μανθάνω· παρτ. Ἐμάνθανον· παρκ. Μεμάθηκα ἐκ τοῦ μαθέω· Μ. μ. Μαθήσομαι· Α. Ἔμαθον παρτ. τοῦ μάθω.

Μάχομαι· παρτ. Ἐμαχόμην· παρκ. Μεμάχεσμαι καὶ μεμάχημαι· Μ. μ. Μαχήσομαι καὶ μαχοῦμαι· Α. Ἐμαχησάμην καὶ ἐμαχεσάμην ἐκ τοῦ μαχέομαι,

Μεθύσκω (μεταβατικῶς)· παρτ. Ἐμέθυσκον· Μ. Μεθύσω· Α. Ἐμέθυσα.

Μεθύσκομαι καὶ μεθύω· παρκ· Μεμέθυσμαι· Α. Ἐμεθύσθην· Μ. Μεθυσθήσομαι.

Μέλει ἀπρόσωπον· παρτ. Ἔμελε· παρκ. Μεμέληκε (καὶ Μέμηλε ἐκ τοῦ μέλω τροπῇ τοῦ ε εἰς η)· Μ· Μελήσει· Α. Ἐμέλησεν ἐκ τοῦ μελέω.

Μέλλω· παρτ. Ἔμελλον καὶ ἤμελλον· μέλ. Μελλήσω ἐκ τοῦ μελλέω, ἐξ οὗ τὸ Μελλήσεται.

Μένω· παρτ. Ἔμενον· παρκ. Μεμένηκα ἐκ τοῦ μενέω· μέλ. Μενῶ· ἀόρ. Ἔμεινα.

Μίγνυμι καὶ μιγνύω καὶ μίσγω καὶ μίγω, ἐξ οὗ παρκ. Μέμιγα· μέλ. Μίξω· ἀόρ. ἔμιξα· Παθ. Μέμιγμαι, ἐμίχθην καὶ ἐμίγην· Μιχθήσομαι καὶ μιγήσομαι.

Μιμνήσκω· παρτ. Ἐμίμνησκον· παρκ. Μέμνηκα· μέλ. Μνήσω· Α. ἔμνησα, ἐκ τοῦ μνάω.

Μιμνήσκομαι· παρκ. Μέμνημαι ἀντὶ Ἐνεϛ. Α. Ἐμνήσθην. μέλ. Μνησθήσομαι· μετ᾽ ὀλίγον μέλ. Μεμνήσομαι.

Μοργνύω καὶ μόργνυμι· παρτ. Ἐμόργνυον· παρκ. Μέμοργα· μέλ. Μόρξω· Α. ἔμορξα, ἐκ τοῦ μόργω.

N·

Νάσσω· παρτ. ἔνασσον· μέλ. Νάξω· Παθ. παρκ. Νένασμαι·
Νέμω· παρτ. ἔνεμον· παρκ· Νενέμηκα· μέλ· Νεμῶ καὶ νεμήσω ἐκ τοῦ νεμέω· Α. ἔνειμα.
Νέω [τὸ σωρεύω, ἢ νήθω]· παρτ. ἔνεον· παρκ. Νένηκα καὶ νένηθα· μέλ. Νήσω· ἀόρ. ἔνησα· παθ. Νένημαι καὶ νένησμαι.
Νέω [τὸ νεύω]· παρκ. Νένευκα· μέλ. Νεύσω· Α. Ἔνευσα.
Νέω [τὸ νήχομαι]· Μ. Νεύσομαι καὶ νευσοῦμαι· Α. ἔνευσα.
Νίζω· παρτ. ἔνιζον· μέλ. Νίψω· ἀόρ· ἔνιψα ἐκ τοῦ νίπτω ἢ νίπω.
Νυςάζω· παρτ. Ἐνύςαζον· παρκ. Νενύςαχα· μέλ. Νυςάξω· ἀόρ. Ἐνύςαξα, ἐκ τοῦ νυςάγω.

Ο.

Ὄζω· παρτ. Ὦζον· παρκ. Ὄδωδα ἐκ τοῦ ὄδω· μέλ. Ὀζήσω καὶ ὀζέσω· Α. Ὤζεσα ἐκ τοῦ ὀζέω.
Οἴγω καὶ ἀνοίγω καὶ ἀνοίγνυμι· παρτ. Ἤνοιγον καὶ ἀνέωγον· παρκ. Ἤνοιχα καὶ ἀνέωχα καὶ ἀνέωγα καὶ ἠνεώγα· μέλ. Ἀνοίξω· Α. Ἤνοιξα καὶ ἀνέωξα καὶ ἠνέωξα· παθ. ἠνοίγην καὶ ἀνεώγην καὶ ἠνεώγην.
Οἶδα, οἶδας καὶ οἶδασθα, καὶ κατὰ συγκοπὴν οἶσθα, παρκ. τοῦ εἴδω ἀντὶ Ἐνες. Ὑπερ. Εἴδειν καὶ Αττ. ᾔδειν, ἀντὶ παρατατ. Μέλ. Εἴσομαι καὶ εἰδήσω ἐνίοτε, ἀπὸ τοῦ εἰδέω· Τὰ δὲ Δυϊκὰ. ἴςον, ἴςον, καὶ τὰ πληθυντικὰ, ἴσμεν, ἴςε, ἴσασι· καὶ ὁ ὑπερσυντελικὸς, ᾔδειμεν καὶ ᾖσμεν, ᾔδειτε καὶ ᾖςε, ᾔδεσαν καὶ ᾖσαν, γίνονται κατὰ συγκοπὴν

καὶ τροπὴν τοῦ δ εἰς σ. Προς. Ἴσθι, Ἴςω· Τὰ δὲ Εὐχ. Εἰδείην καὶ Υποτ· Ἐὰν εἰδῶ, ἀπὸ τοῦ εἰδέω εἴδημι. Ἀπαρ. Εἰδέναι. Μ. Εἰδώς.

Οἰδαίνω· παρτ. Οἴδαινον καὶ ᾤδαινον. παρχ. Οἴδηκα καὶ ᾤδηκα. Μ. Οἰδήσω.

Οἰκτείρω· Ὤικτειρον. Μέλ· Οἰκτειρήσω· Ἀόρ· Ὠικτείρησα καὶ ᾤκτειρα κατὰ συγκοπὴν, ἀπὸ τοῦ οἰκτειρέω.

Οἴομαι καὶ οἶμαι, οἴει, οἴεται· ᾠόμην καὶ ᾤμην· Μ. μ. οἰήσομαι· Ἀόρ· Ὠιήθην ἐκ τοῦ οἰέομαι·

Οἴχομαι· Ὠιχόμην· παρχ· Ὤιχηκα καὶ παθ· Ὤιχημαι· Μ. μ. Οἰχήσομαι· Ἀόρ· Ὠιχόμην παρατ· τοῦ οἴχομαι.

Ὀλισθάνω καὶ ὀλισθαίνω· ὠλίσθαινον· μέλ· Ὀλισθήσω· Ἀόρ· Ὠλίσθησα ἐκ τοῦ ὀλισθέω καὶ ὤλισθον παρτ· τοῦ ὀλίσθω.

Ὀλλύω καὶ ὄλλυμι· παρτ. Ὤλλυον· παρχ. Ὠλώλεκα· μέλ. Ὀλῶ (ἐκ τοῦ ὄλω) καὶ ὀλέσω· ἀόρ. Ὤλεσα, ἐκ τοῦ ὀλέω.

Ὄλλυμαι· Παρτ. Ὠλλύμην· Παρχ. Ὄλωλα· μέλ. Ὀλοῦμαι· Ἀόρ. Ὠλόμην παρτ. τοῦ ὀλέομαι κατὰ συγκοπήν.

Ὀμνύω καὶ ὄμνυμι· Ὤμνυον· παρχ. Ὤμοκα καὶ ὀμώμοκα (Παθητ. Ὤμοσμαι καὶ ὀμώμοσμαι, ὀμώμοσαι, ὀμώμοςαι καὶ ὀμώμοται)· Μελ. Ὀμοῦμαι· Ἀόρ. Ὤμοσα.

Ὀμόργνυμι· Ὠμόργνυον· Μ. Ὀμόρξω, ἐκ τοῦ ὀμόργω.

Ὄνυμι καὶ ὀνίνημι· μέλ. Ὀνήσω ἐκ τοῦ ὀνάω· ἀόρ. Ὤνυσα καὶ Μέσ. ὠνάμην (κατὰ συγκοπὴν ἐκ τοῦ ὠνησάμην, ἐξ οὗ Εὐχτ. Ὀναίμην, ὄναιο, ὄναιτο. Ἀπαρέμ. Ὄνασθαι (ἢ παρατ. τοῦ ὄναμαι, ὄνασαι).

Ὄπτομαι καὶ ὀπτάνομαι· ὠπτανόμην· παρχ. Ὄπωπα (παθ. Ὦμμαι)· Μ. μ. Ὄψομαι καὶ ὀφθήσομαι· ἀόρ. Ὤφθην.

Ὁράω, ῶ· Ὥραον καὶ ἑώρασν· παρχ. Ὥρακα καὶ ἑώρακα·

Ὀσφραίνομαι· Ὠσφραινόμην· Μ. Ὀσφρανοῦμαι καὶ ὀσφρήσο-

μαι καὶ ὀσφρανθήσομαι· ἀόρ. Ὠσφράνθην καὶ ὠσφρόμην, πρ. τοῦ ὄσφρομαι. παρκ. Ὤσφρομαι, ἀπὸ τοῦ Ὀσφρέομαι.

Ὄφλω καὶ ὀφείλω καὶ ὀφλισκάνω· παρκ. Ὤφληκα· μέλ. Ὀφλήσω· ἀάρ. Ὤφλησα, ἐκ τοῦ ὀφλέω.

Οὐρέω, ῶ· ἐούρουν· ὡς ὠθῶ, ἐώθουν· ὠνέομαι, ἐωνούμην.

Π.

Παίζω· πρατ. Ἔπαιζον· παρκ. Πέπαιχα (παθητ. Πέπαιγμαι καὶ πέπαισμαι) μέλ. Παίξω καὶ παίξομαι καὶ παιξοῦμαι· ἀόρ. ἔπαιξα καὶ ἔπαισα.

Παίω· ἔπαιον· παρκ. Πέπαικα· μέλ. Παιήσω καὶ παίσω· ἀόρ. ἔπαισα.

Πάσχω· παρτ. ἔπασχον· παρκ. Πέπονθα ἐκ τοῦ πένθω· Μ. μ. Πείσομαι ἐκ τοῦ πέθω, προσλήψει τοῦ ι· Ἀόρις. ἔπαθον παρτ. τοῦ πάθω.

Πείρομαι· Ἐπειρόμην· παρκ. πέπαρμαι· ἀόρ. Ἐπάρην καὶ ἐπειράμην· μέλ. παρήσομαι.

Πέλω. ἔπελον, ἔπελες, ἔπελε καὶ ἔπλε.

Πετανύω καὶ πετάνυμι· ἐπετάννυον· παρκ. Πεπέτακα· μέλ. πετάσω· ἀόρ. ἐπέτασα· παθ. Πεπέτασμαι· Ἐπετάσθην· Πετασθήσομαι, ἐκ τοῦ πετάω.

Πέρδω· ἔπερδον· Πέπορδα· Μ. μ. Παρδήσομαι· ἀόρ. ἔπαρδον παρτ. τοῦ παρδέω κατὰ συγκοπήν.

Πηγνύω καὶ πήγνυμι· παρτ. Ἐπήγνυον· παρκ. πέπηγα (ἀμεταβάτως)· μέλ. Πήξω· ἀόρ. ἔπηξα· ἀόρ. παθ. Ἐπάγην ἐκ τοῦ ἔπαγον παρτ. τοῦ πάγω.

Πιμπλάω καὶ πίμπλημι· ἐπίμπλων· παρκ. Πέπληκα· μέλ. Πλήσω· ἀόρ. ἔπλησα· πάθ. Πέπλησμαι· Ἐπλήσθην· Πλη-

σθήσομαι ἐκ τοῦ πλήθω.

Πιμπράω, ῶ· καὶ πίμπρημι καὶ ἐμπίπρημι (ἀφαιρέσει τοῦ μ διὰ τὸ δύσφθεγκτον)· παρτ. Ἐνεπίμπρην (προσλήψει πάλιν τοῦ μ)· μέλ. Πρήσω· ἀόρ. ἔπρησα, ἐκ τοῦ πρήθω.

Πίνω· ἔπινον· παρκ. Πέπωκα· μέλ. Πίομαι καὶ πιοῦμαι· ἀόρ. ἔπιον παρτ. τοῦ πίω. παθ. Πέπομαι, ἐπόθην, ποθήσομαι, ἐκ τοῦ πόω.

Πιπράσκω· ἐπίπρασκον· παρακ. Πέπρακα· μέλ. Πράσω· παθ. Πέπραμαι· Ἐπράθην· Πραθήσομαι, ἐκ τοῦ πράω.

Πίπτω· ἔπιπτον· παρκ, Πέπτωκα (ἐκ τοῦ πεπέτηκα συγκοπῇ καὶ τροπῇ τοῦ η εἰς ω)· μέλ. Πεσοῦμαι ἀόρ. ἔπεσα, καὶ ἔπεσον παρτ. τοῦ πεσέω κατὰ συγκοπήν.

Πλάζω· παρτ. ἔπλαζον· μέλ. Πλάγξω· ἀόρ. ἔπλαγξα ἐκ τοῦ πλάγγω.

Πλέω· πλέεις, εῖς· πλέει, εῖ. Παρτ. ἔπλεον· ἔπλεες, εις· ἔπλεε, ει· παρκ. Πέπλευκα· Μ. μ. Πλεύσομαι καὶ πλευσοῦμαι· ἀόρ. ἔπλευσα· παθ. Πέπλευσμαι· Ἐπλεύσθην.

Πλήσσω καὶ πλήττω· ἔπληττον· παρκ. Πέπληγα· μέλ. Πλήξω· ἀόρ. ἔπληξα. Παθ. Ἐπλήγην, ἐπλάγην· καὶ ἐν συνθέσει κατεπλάγην, ἐκ τοῦ πλήγω.

Πνέω κατὰ τὸ πλέω· Παθ. παρκ. Πέπνυμαι· Μετ. Μεπνυμένος.

Πριάομαι καὶ πρίαμαι· παρτ. Ἐπριάμην ἀντὶ ἀορ. Ὑποτ. Πρίωμαι. Ἀπαρ. Πρίασθαι. Μετ. Πριάμενος.

Πτάρνυμι· μέλ. Πταρῶ· ἀόρ. ἔπταρον παρτ. τοῦ πτάρω.

Πτήσσω· παρκ. Πέπτηχα· μέλ. Πτήξω· ἀόρ. ἔπτηξα.

Πυνθάνομαι· Ἐπυνθανόμην· Μ· μ. Πεύσομαι, ἐκ τοῦ πεύθω· ἀόρ. Ἐπυθόμην παρτ. τοῦ πύθομαι· πρκ. Πέπυσμαι.

Ρ.

Ῥαίνω· ἔῤῥαινον· μέλ. Ῥανῶ· ἀόρ. ἔῤῥανα.

Ῥέω κατὰ τὸ πλέω.

Ῥήσσω καὶ ῥηγνύω καὶ ῥήγνυμι· παρκ. ἔῤῥωγα ἐκ τοῦ ῥήγω, τροπῇ τοῦ η εἰς ω· μέλ. Ῥήξω· ἀόρ. ἔῤῥηξα. Παθ. π. ἔῤῥηγμαι καὶ ἔῤῥαγμαι τροπῇ τοῦ η εἰς α· ἀόρ. Ἐῤῥάγην· μέλ. Ῥαγήσομαι.

Ῥύομαι· Ἐῤῥυόμην· ἀόρ. Ἐῤῥύσθην· μέλ. Ῥυσθήσομαι καὶ ῥύσομαι· Ἐῤῥυσάμην.

Ῥωννύω καὶ ῥώννυμι· Ἐῤῥώννυον· παρκ. ἔῤῥωκα· παθ. ἔῤῥωμαι· μέλ. Ῥώσω· ἀόρ. ἔῤῥωσα ἐκ τοῦ ῥόω· παθ. Ἐῤῥώσθην· παρκ. ἔῤῥωσμαι. Προς. ἔῤῥωσο ἐκ τοῦ ῥώζω.

Σ.

Σαίνω· ἔσαινον.

Σαλπίζω· Ἐσάλπιζον· μέλ. Σαλπίσω καὶ σαλπίγξω· ἀόρ. ἐσάλπισα καὶ ἐσάλπιγξα, ἐκ τοῦ σαλπίγγω.

Σβεννύω καὶ σβέννυμι· ἐσβέννυον· παρκ. ἔσβηκα· μέλ. Σβήσω καὶ σβέσω, ἐκ τοῦ σβέω· ἀόρ. ἔσβεσα καὶ ἔσβην ἐκ τοῦ σβῆμι· παθητ. ἐσβεσμαι, Ἐσβέσθην.

Σκεδαννύω καὶ σκεδάννυμι· ἐσκεδάννυον· παρκ· Ἐσκέδακα· μέλ. σκεδάσω· ἀόρ. ἐσκέδασα· παθητ. Ἐσκέδασμαι· Ἐσκεδάσθην, Σκεδασθήσομαι.

Σκέλλω καὶ σκελ-έω, ῶ· παρκ. ἔσκληκα (ἐπὶ πάθους)· μέλ. Σκλήσω, ἐκ τοῦ σκελέω κατὰ συγκοπήν· ἀόρ. ἔσκλην παρτ. τοῦ σκλῆμι.

Σμάω, ῶ Σμῇς, Σμῇ· ἔσμων, ἔσμης, ἔσμη· παρκ. ἔσμηχα ἐκ τοῦ σμήχω· μέλ. Σμήσω· ἀόρ. ἔσμησα· παθ. ἐσμήχθην,

Σπένδω· ἔσπενδον· παρκ. ἔσπονδα· μέλ. Σπείσω· ἀόρ. ἔσπεισα· παθ. ἔσπεισμαι· Ἐσπείσθην, ἀπὸ τοῦ σπείδω.

Στορεννύω καὶ ϛορέννυμι· ἐϛορέννυον· παρκ. ἐϛόρεκα· μέλ. Στορέσω· ἀόρ. Ἐϛόρεσα.

Στρωννύω καὶ ϛρώννυμι· ἐϛρώννυον· παρκ. ἔϛρωκα· μέλ. Στρώσω· ἀόρ. ἔϛρωσα, ἐκ τοῦ ϛρόω.

Τ.

Ταράσσω καὶ ταράττω· Ἐτάραττον· μέλ. Ταράξω· Α. Ἐτάραξα, ἐκ τοῦ ταράγω.

Τέμνω· ἔτεμνον· παρκ. Τέτμηκα ἐκ τοῦ τεμέω κατὰ συγκοπήν· μέλ. Τεμῶ· Α. ἔτεμον παρτ. τοῦ τεμέω κατὰ συγκοπὴν, καὶ ἔταμον ἐκ τοῦ τάμω.

Τέθηπα παρκ· Ὑπερσ. Ἐτεθήπειν, ἐκ τοῦ θήπω.

Τεύχω ὁμαλόν. Παθ. παρκ. Τέτυγμαι.

Τήκω· Ἔτηκον· παρκ. Τέτηκα· μέλ. Τήξω· Α ἔτηξα.

Τίκτω· ἔτικτον· παρκ. Τέτοκα· μέλ. Τέξω καὶ τέξομαι. Α. ἔτεκον παρατατ. τοῦ τέκω.

Τίνω καὶ τιννύω καὶ τίννυμι· παρτ. Ἐτίννυον· μέλ. Τίσω· Α. ἔτισα ἐκ τοῦ ὁμαλοῦ τίω.

Τιτραίνω καὶ τιτρ-άω, ῶ· παρκ. Τέτρηκα· μέλ. Τρήσω· ἀόρ. ἔτρησα.

Τιτρώσκω· Ἐτίτρωσκον· παρκ. Τέτρωκα· μέλ. Τρώσω· Α. Ἔτρωσα, ἐκ τοῦ τρόω.

Τλ-άω, ῶ· ἔτλαον· παρκ. Τέτληκα· μέλ. Τλήσω καὶ τλήσομαι· ἀόρ. ἔτλην παρτ. τοῦ τλῆμι.

Τρέφω· ἔτρεφον· παρκ. Τέτροφα· μέλ. θρέψω· ἀόρ. ἔθρεψα. Παθητ. Τέθραμμαι, Ἐτράφην καὶ σπανίως ἐθρέφθην

Τραφήσομαι.

Τρέχω· ἔτρεχον· παρκ. Δεδράμηκα (ἐκ τοῦ δραμέω)· μέλ. Τρέξομαι· ἀόρ. ἔτρεξα· ἢ μᾶλλον μέλ. Δραμοῦμαι· ἀόρ. ἔδραμον παρτ. τοῦ δράμω.

Τρώγω· ἔτρωγον· παρκ. Βέβρωκα· μέλ. Φαγοῦμαι· ἀόρ. ἔφαγον παρατατ. τοῦ φάγω· ἢ τρώξομαι· Α. ἔτραγον παρτ. τοῦ τράγω· καὶ Ἔδομαι ἀντὶ μέλλοντος, ὥςπερ καὶ τὸ φάγομαι.

Τυγχάνω· Ἐτύγχανον· παρκ. Τέτευχα καὶ τετύχηκα· μέλ. Τεύξομαι· ἀόρ. ἔτυχον παρατατ. τοῦ τύχω.

Τύφω· ἔτυφον· μέλ. Θύψω· παθητ. ἀόρ. Ἐτύφην.

Υ.

Ὑπισχνοῦμαι· Ὑπισχνούμην· παρκ. Ὑπέσχημαι· Α. Ὑπεσχέθην καὶ ὑπεσχόμην παρατατ. κατὰ συγκοπὴν τοῦ Ὑποσχέομαι· μέλ. Ὑποσχεθήσομαι καὶ ὑποσχήσομαι.

Ὑπνώττω· Ὕπνωττον· μέλ. Ὑπνώσω· Α. Ὕπνωσα.

Ὕει· μέλ. Ὕσει· ἀόρ. Ὗσεν.

Φ.

Φάσκω· ἔφασκον.

Φέρω· ἔφερον· παρκ. Ἐνήνοχα· μέλ. Οἴσω (ἐκ τοῦ οἴω)· ἀόρ. Ἤνεγκα καὶ ἤνεγκον παρατατ. τοῦ ἐνέγκω· παθητ. Ἐνήνεγμαι· Ἠνέχθην· Ἐνεχθήσομαι καὶ Οἰσθήσομαι ἐκ τοῦ οἴω.

Φεύγω· ἔφευγον· παρκ. Πέφευγα· μέλ. Φεύξομαι καὶ φευξοῦμαι· Α. ἔφυγον παρτ. τοῦ φύγω. παθ. Πέφυγμαι.

Φημὶ, φὴς, φησί· φατὸν, φατόν· φαμὲν, φατὲ, φασί.

παρτ. Ἔφην, ἔφης, ἔφη· ἔφατον, ἐφάτην· ἔφαμεν, ἔφατε, ἔφασαν· μέλ. Φήσω· Ἀ. ἔφησα· Προς. Φάθι, φάτω. Εὐκτ. Φαίην, φαίης, φαίη. Ὑποτ. Φῶ, φῇς, φῇ. Ἀπαρέμφ. Φάναι. Μετ. Φὰς, φάντος.

Φρέω καὶ εἰσφρέω, ῶ· Εἰσέφρεον· μέλ. Εἰσφρήσομαι· ἀόρ. Εἰσέφρησα.

Φθάνω· ἔφθανον· παρκ. ἔφθακα· μέλ. Φθάσω καὶ φθήσομαι· ἀόρ. ἔφθην παρατατ. τοῦ φθῆμι.

Φθείρω· ἔφθειρον· παρκ. Ἔφθαρκα καὶ ἔφθορα· μέλ. Φθερῶ· Ἀ. ἔφθειρα.

Φθίνω· ἔφθινον· μέλ. Φθίσω· ἀόρ. ἔφθισα.

Φρίσσω καὶ φρίττω· ἔφριττον· παρκ. πέφρικα ἐκ τοῦ φρίκω, ἐξ οὗ ἡ Φρίκη· μέλ. Φρίξω· ἀόρ. ἔφριξα.

Φύω· ἔφυον· μέλ. Φύσω· ἀόρ. ἔφυσα· τὸ δὲ Ἔφυν παρατ. τοῦ φῦμι, ἐξ οὗ τὸ Φῦναι καὶ φυῆναι. Μετ. Φὺς καὶ φυείς.

Φύομαι· Ἐφυόμην· παρκ. πέφυκα· μέλ. Φύσομαι· Ἀ· ἔφυν παρτ. τοῦ φῦμι. Ἀπαρ. Φῦναι. Μετ. ὁ Φύς.

X.

Χαίνω καὶ χάσκω· Ἔχανον καὶ ἔχασκον· παρκ. κέχηνα· Μ. Χανοῦμαι· Ἀ. Ἔχανον παρτ. τοῦ χανέω κατὰ συγκοπήν.

Χαίρω· ἔχαιρον· παρκ. Κεχάρηκα καὶ κεχάρημαι· μέλ. Χαρήσω καὶ χαρήσομαι ἀπὸ τοῦ χαρέω· ἀόρ. Ἐχάρην ἐκ τοῦ παθητικ. Κέχαρμαι.

Χαλεπαίνω· Ἐχαλέπαινον· μέλ. Χαλεπανῶ· Ἀ. ἐχαλέπηνα.

Χέω· Ἔχεον (κατὰ τὸ πλέω)· παρκ. κέχυκα· μέλ. Χεύσω· Ἀ. Ἔχεα· παθητ. κέχυμαι· Ἐχύθην ἐκ τοῦ χεύω ἐκβολῇ τοῦ ε.

Χρῶ [τὸ μαντεύω] ἐςιν ὁμαλόν· χρᾷς, χρᾷ· παρτ. ἔχραον, ων· μέλ. Χρήσω κ. τ. λ. Ἀπαρ. Χρᾶν.

Χρὴ Ἀπρόσωπον· παρτ. Ἐχρῆν καὶ χρῆν. Ἀπαρ. Χρῆναι καὶ χρῆν. Εὐκτ. Χρείην. Ὑποτ. Χρῇ, ἐκ τοῦ χρέω χρῆμι Ἰωνικ. μέλ. Χρήσει. Μετ. Χρεὼν ἄκλιτος, ἐκ τοῦ χρέω Ἰων. οἱ γὰρ Ἴωνες τὰ εἰς αω εἰς εω σχηματίζουσι.

Χρωννύω καὶ χρώννυμι· Ἐχρώννυον· παρκ. κέχρωκα· παθ. Κέχρωσμαι· μέλ. Χρώσω. Ἀ. Ἔχρωσα. ἐκ τοῦ χρόω.

Χωννύω καὶ χώννυμι· Ἐχώννυον· παρκ. κέχωκα· μέλ. Χώσω· Ἀ. Ἔχωσα· παθ. Κέχωσμαι· Ἐχώσθην. Ἀπαρέμ. Χωννύναι, καὶ Χοῦν ἐκ τοῦ χόω.

Ω.

Ὤθω καὶ ὠθῶ· Ἐώθουν· παρκ ἔωκα· παθ. Ἔωσμαι· μέλ. Ὤσω καὶ ὠθήσω· Ἀ. Ὦσα καὶ ἔωσα, καὶ ὤθησα ἐκ τοῦ ὠθέω.

Ὠνέομαι, οῦμαι· Ἐωνούμην· παρκ. Ὤνημαι καὶ Ἐώνημαι· Μ. μ. Ὠνήσομαι· Μ. ἀ. Ὠνησάμην.

Ὤφελον ἀόρ· καὶ ἔςι παρατατ. τοῦ ἀχρήςου ὀφέλω ἐπὶ εὐχῆς μόνης προσωπικῆς.

Τ Ε Λ Ο Σ.